# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΙΩΑΝΝΟΥ

## ΤΟΥ ΕΚ ΚΟΝΙΤΣΗΣ



ΚΟΝΙΤΣΑ

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

ΕΚΔΟΣΙΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΠΡΟΥΣΙΩΤΙΣΣΗΣ
1983

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ
# ΙΩΑΝΝΟΥ

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας




Ὁ ἔνδοξος Νεομάρτυς Ἰωάννης ὁ ἐκ Κονίτσης

(Διά χειρός Βασ. Γ. Λέπουρα 1975)

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΚΟΝΙΤΣΑΣ
ΑΡ. ΕΙΣΑΓΩΓΗΣ 55838
ΗΜΕΡ. ΕΙΣΑΓΩΓΗΣ 3/9/2014
ΤΑΞΙΝ. ΑΡΙΘΜ. 264.23 ΝΙΚ
κωδ. εγγ. 8973

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΙΩΑΝΝΟΥ

## ΤΟΥ ΕΚ ΚΟΝΙΤΣΗΣ

ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ ΕΝ ΒΡΑΧΩΡΙῼ (ΑΓΡΙΝΙῼ)
ΤΗΣ ΑΙΤΩΛΙΑΣ ΕΝ ΕΤΕΙ 1814

ΤΑΥΤῌ ΠΡΟΣΕΤΕΘΗ ΚΑΙ Ο ΠΑΡΑΚΛΗΤΟΣ ΚΑΝΩΝ ΤΟΥ ΑΓΙΟΥ

**Οὗ ἡ Μνήμη τῇ κγ΄ (23η) Σεπτεμβρίου**

ΠΟΙΗΜΑ
ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

**Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας**

ΕΚΔΟΣΙΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΠΡΟΥΣΙΩΤΙΣΣΗΣ

1983

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Φωτοστοιχειοθεσία: «ΦΩΤΟΣΤΟΙΧΕΙΟΘΕΤΙΚΗ» Ε.Π.Ε.
Νικηταρᾶ 2 - 4, 'Αθῆναι 106 78
Τηλ. 36.00.425

'Εκτύπωσις: Λιθογραφεῖον ΧΡΗΣΤΟΥ ΜΟΑΤΣΟΥ
Στρυμῶνος 48, 'Αθῆναι 118 55
Τηλ. 34.60.849

'Επιμέλεια: ΕΚΔΟΤΙΚΟΝ ΓΡΑΦΕΙΟΝ
ΣΤΕΦΑΝΟΣ Δ. ΒΑΣΙΛΟΠΟΥΛΟΣ
Ἱπποκράτους 6, 'Αθῆναι 106 79
Τηλ. 36.38.343

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἑξῆς**
**Προσόμοια.**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Οτε εὐσεβείας τῷ φωτί, Μάρτυς τήν ψυχήν κατηυγάσθης, τελειοτάτῳ νοΐ, τότε πᾶσαν ἔλιπες, πλάνης τήν ζόφωσιν, καί τῷ θείῳ βαπτίσματι, υἱός ἀνεδείχθης, τοῦ σέ πρός ἐπίγνωσιν θείαν καλέσαντος· ὅθεν καί νομίμως ἀθλήσας, τῶν πάλαι Μαρτύρων τῆς δόξης, Ἰωάννη ὤφθης ἰσοστάσιος.

Οτε ὡμολογήσας πιστῶς, Μάρτυς τήν Χριστώνυμον κλῆσιν, ἁγίῳ στόματι, τότε ἀπερίτρεπτος, και ἀκατάσειστος, ἀπειλαῖς καί κολάσεσι, τῶν ἀντικειμένων, ὤφθης δυναμούμενος, Ἁγίῳ Πνεύματι· ὅθεν καταισχύνας τον ὄφιν, παρά τοῦ Χριστοῦ ἐκομίσω, στέφος Ἰωάννη το ἀμάραντον.

Ανθος ἐκ Κονίτσης νοητόν, ἐκ δυσώδους ρίζης ἀνθήσας, τήν εὐωδίαν Χριστοῦ, μύρον ὡς οὐράνιον, καί ζωοδώρητον, Ἰωάννη δεξάμενος, ὀσμαῖς τῶν σῶν ἄθλων, πᾶσαν τήν διάνοιαν, πιστῶν ἐπεύφρανας. Ὅθεν

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

τήν ἁγίαν σου μνήμην, πόθῳ ἐκτελοῦντες μεσίτην, πρός Χριστόν θερμόν σε προβαλλόμεθα.

Πόλις Βραχωρίου τό σεπτόν, αἷμά σου ἐδέξατο Μάρτυς, ὑπέρ Χριστοῦ ἐκχυθέν· ἔνθεν τήν ἁγίαν σου, γεραίρει ἄθλησιν, και τά θεῖά σου λείψανα, ἡ Προυσιωτίσσης, Ἰωάννη φέρουσα, Μονή ἀγάλλεται· ταῦτα γάρ ἀρτίως φανέντα, πάλαι ἐν αὐτῇ κεκρυμμένα, τόν ἁγιασμόν ἡμῖν παρέχουσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Δόξα. Ἦχος α΄.**

Τῆς ἀληθείας τον θησαυρόν, ἐν πολλῇ συνέσει εὑρών, τῇ τούτου εὐφράνθης χάριτι, Ἰωάννη μακάριε· καί Χριστόν ἐνδυσάμενος, τοῖς ἴχνεσιν αὐτοῦ ἠκολούθησας, καί μαρτυρικόν ὑπῆλθες στάδιον, ἀπεριτρέπτῳ καρδίᾳ· ὅθεν ἐν σοί ᾐσχύνθη, ὁ τοῦ ψεύδους ἐργάτης, καί Ἄγγελοι ἐκρότησαν, τούς ἀθλητικούς σου καμάτους· μεθ' ὧν νῦν συναυλιζόμενος, και Χριστοῦ ὁρῶν τήν λαμπρότητα, αδιαλείπτως πρέσβευε, ὑπέρ τῶν τιμώντων σε.

**Καί νῦν. Θεοτοκίον.**

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων, καί τῆς Θεοτόκου, τήν σήν εἰρήνην δός ἡμῖν, καί ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

**Ἀπόστιχα.**
**Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Ολος ἀλλοιωθείς, τῇ θείᾳ προμηθείᾳ, ἐπέγνως τόν Σωτῆρα, ὦ Ἰωάννη μάκαρ, καί τούτῳ ἠκολούθησας.

**Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...**

Κόνιτσα εὐφημεῖ, ὁμοῦ σύν Βραχωρίῳ, τήν ἄθλησίν σου Μάρτυς· τῆς μέν γάρ γόνος πέλεις, τήν δέ ἄθλοις ἡγίασας.

**Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Ξίφει ἀποτμηθείς, τήν κεφαλήν προθύμως, Μαρτύρων ταῖς χορείαις, ὦ Ἰωάννη μάρτυς περιφανῶς ἠρίθμησαι.

**Δόξα. Τριαδικόν.**

Ενα σε τοῦ παντός, Θεόν Τριάς Ἁγία, ὁ Ἰωάννης ἔγνω, λιπών πλάνης τό σκότος, καί ὑπέρ σοῦ ἐνήθλησε.

**Καί νῦν. Θεοτοκίον.**

Χαίρει τῶν εὐσεβῶν, τό πλήρωμα Παρθένε, τῇ σῇ ἐπιστασίᾳ, λαμβάνον καθ᾽ ἑκάστην, ἰσχύν καί χάριν ἄφθονον.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Νῦν ἀπολύεις, τό Τρισάγιον, τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καί Ἀπόλυσις.**

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καί ψάλλομεν τά ἑξῆς Προσόμοιοα.**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Καταυγασθείς ἐπιγνώσει τῆς θείας πίστεως, κατέλιπες τόν ζόφον, Ἰωάννη τῆς πλάνης, καί ἄθλοις μαρτυρίου δοκιμασθείς, ὡς χρυσίον πολύτιμον, μαρτυρικῶς ἐδοξάσθης παρά Χριστοῦ, ἀφθαρσίας διαδήματι.

Ἀπεριτρέπτῳ καρδίᾳ μάκαρ ὑπέμεινας, τάς τῶν ἀντικειμένων, ἀπειλάς καί βασάνους, καί ὤφθης Νεομάρτυς τοῦ Ἰησοῦ, Ἰωάννη περίδοξος, τῇ συμμαχίᾳ τῇ θείᾳ καταβαλών, τῶν ἀνόμων τά φρυάγματα.

Κόνιτσα χαίρει βλαστόν σε θεῖον κατέχουσα, καί ἡ τοῦ Βραχωρίου, μακαρίζει σε πόλις, ἰδοῦσά σου τήν ἄθλησιν τήν στερράν, Ἰωάννη μακάριε. Ἀλλ' ἀμφοτέραις ἐξαίτει παρά Χριστοῦ, εὐπραγίαν τε καί ἔλεος.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### Προσόμοια ἕτερα.

### Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς ἐπέγνως τόν Κύριον, εὐθυτάτῃ καρδίᾳ σου, σπόρον ὑποδέδεξαι τόν οὐράνιον, καί γεωργίᾳ τοῦ κρείττονος, ἐξήνεγκας Ἅγιε, μαρτυρίου τούς καρπούς, ὡς ἀθλήσας στερρότατα, θείῳ ἔρωτι· διά τοῦτο ἀξίως ἐδοξάσθης, Ἰωάννη Νεομάρτυς, ὡς Ἀθλητής ἐνθεώτατος.

Ἀπτοήτως εἰσέδραμες, μαρτυρίου τό στάδιον, ἀφειδήσας Ἅγιε πάσης σχέσεως, τῆς ἐν τῷ κόσμῳ ὡς ἄσαρκος, καί πόνων τοῦ σώματος, καί δεσμῶν τε καί εἱρκτῆς, μηδαμῶς λογισάμενος, τό ἐπίπονον, καί ἀθλήσας νομίμως Ἰωάννη, τῶν Μαρτύρων τῆς εὐκλείας, περιφανῶς κατηξίωσαι.

Ταῖς ῥοαῖς τῶν αἱμάτων σου, Βραχωρίου ἡγίασας, πόλιν τήν γεραίρουσαν τούς ἀγῶνάς σου, καί Προυσιώτισσαν εὔφρανας, τῶν θείων λειψάνων σου, τῇ εὑρέσει ἀληθῶς, μεθ' ὧν Ἅγιε Κόνιτσαν, τήν πατρίδα σου, καυχωμένην τῇ θεία σου ἀθλήσει, Ἰωάννη Νεομάρτυς, σκέπε ἀπαύστως καί φύλαττε.

### Δόξα. Ἦχος πλ.β΄.

Σήμερον ἡ τοῦ Νεομάρτυρος Ἰωάννου μνήμη, ὡς ἀστήρ ἀρτιφανής, τῇ Ἐκκλησίᾳ ἐπέφανε, τούς πιστούς καταυγάζουσα· ὡς υἱός γάρ φωτός, ἐκ σκότους ἀγνωσίας ἐκλάμψας, λύει τήν νύκτα τῶν παθῶν, καί πρός φῶς τῶν θείων ἐντολῶν, ἰθύνει τούς βοῶντας·

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Χαίροις ὁ τῆς πλάνης ρήξας τά δεσμά, καί τῆς ἐν Χριστῷ ἀναγεννήσεως, ἐνδυσάμενος τήν χάριν· χαίροις ὁ τῶν γηίνων ὑπεραρθείς, καί θεολήπτῳ καρδίᾳ ἀθλητικήν ἐπιδειξάμενος ἔνστασιν· χαίροις Κονίτσης ἀγλάϊσμα, Βραχωρίου θεῖον κλέος, καί ἀμφοτέρων πρεσβευτής, πρός Χριστόν θερμότατος, ᾧ ἀπαύστως πρέσβευε, Νεομάρτυς τρισμάκαρ, ὑπέρ τῶν τιμώντων σε.

**Καί νῦν. Ὁ αὐτός.**

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε, τίς μή ἀνυμνήσει σου τόν ἀλόχευτον τόκον; Ὁ γάρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεός ὑπάρχων, καί φύσει γενόμενος, ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτόν ἱκέτευε, σεμνή παμμακάριστε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

**Εἴσοδος. Φῶς ἱλαρόν. τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.**

**Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα.**

**(Κεφ. μγ΄ 9 - 14)**

Τάδε λέγει Κύριος· Πάντα τά ἔθνη συνήχθησαν ἅμα καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; Ἤ τά ἐξ ἀρχῆς τίς ἀκουστά ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καί ἐγώ μάρτυς Κύριος ὁ Θεός, καί ὁ Παῖς, ὅν ἐξελεξάμην· ἵνα γνῶτε, καί πιστεύσητε, καί συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καί

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

μετ' ἐμέ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός καί οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγώ ἀνήγγειλα καί ἔσωσα, ὠνείδισα καί οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες καί ἐγώ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καί τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.**

**(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καί κρατήσουσι λαῶν καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν συνήσουσιν ἀλήθειαν καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.**

**(Κεφ. ε΄ 15 - 23 στ΄ 1 - 3)**

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς καί τῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

βραχιόνι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον αὐτοῦ καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην· καί περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν ἐπί σκοπόν ἁλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοί δέ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν καί ἡ δυναστεία παρά Ὑψίστου.

## Εἰς τήν Λιτήν, Ἰδιόμελα.
## Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ τῆς Κονίτσης πόλις, λαμπρυνομένη τῇ χάριτι, Ἰωάννου τοῦ νέου Ἀθλητοῦ· ἐκ σοῦ γάρ ἀνεφύη, καί λοιμῶν τήν καθέδραν, κατά Δαβίδ καταλιπών, ἐν νόμῳ Κυρίου ἐπορεύθη, ἀλλοιωθείς θείῳ Πνεύματι· καί τήν θείαν κλῆσιν, ἀθλητικαῖς ἀριστείαις δοξάσας, μαρτυρικῆς μετέσχε λαμπρότητος· διό καί τό Βραχώριον, ὡς ἐν τούτῳ ἀθλήσαντος, εἰς κοινήν εὐφροσύνην συγκάλεσον, τῷ Ἀθλοθέτῃ ὁμοφώνως βοῆσαι· Κύριε δόξα σοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### Ἦχος β΄.

Τήν πατρικήν βδελυξάμενος πλάνην, τῆς εὐσεβείας ἐμυήθης τήν ἀλήθειαν, ὡς νουνεχής ἐν πᾶσι, καί πλήρης φρονήσεως· καί σαυτόν ἀρνησάμενος, ἐνεδύθης τόν Χριστόν, ἀνακαινισθείς τῷ Πνεύματι, Ἰωάννη θεόφρον· καί ζωήν καθαράν, εἰσενεγκών τῷ σέ καλέσαντι, ὑπέρ αὐτοῦ τό σόν αἷμα, προθύμως ἐξέχεας, καί ὡς θῦμα εὐπρόσδεκτον, αὐτῷ προσενήνεξαι, καί προσφορά λογική· διό σου τήν ἄθλησιν, ἡ Ἐκκλησία τιμῶσα, ἑορτάζει Νεομάρτυς τήν μνήμην σου.

### Ἦχος γ΄.

Μαρτυρικήν ἐπιδειξάμενος ἀνδρείαν, τυραννικήν ἐξεφαύλισας μανίαν, ὁμολογῶν τόν Χριστόν, Ἰωάννη ἔνδοξε· τῇ γάρ θείᾳ ἀγάπῃ, ὅλος ἔνθους γενόμενος, τῶν χαμαί συρομένων, ὑπερεῖδες τό μάταιον· καί ποικίλαις ὁμιλήσας αἰκίαις, καί εἱρκτῆς ἐνεγκών τήν κάκωσιν, ὑπέρτερος πάντων ὤφθης, ἐν τῇ μετοχῇ τῶν θείων δωρεῶν. Ἀλλ' ὡς ἐν πᾶσιν ἀκλινής, καί ἐν ἀΰλῳ δόξῃ, θεοειδής, πρέσβευε ὑπέρ τῶν τιμώντων σε.

### Ἦχος δ΄.

Τοῖς μαρτυρικοῖς σου καμάτοις, ἡ Βραχωρίου πόλις κλεϊζομένη, τήν σήν ἁγίαν ἄγει μνήμην, πρέσβυν σε θερμότατον, πρός τόν Χριστόν πλουτοῦσα Ἅγιε· ἐν αὐτῇ γάρ ἤνυσας, τό μέγα τῆς ἀθλήσεως στά-

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

διον, καταβαλών τοῦ σκότους τόν ἄρχοντα. Καί ἡ εὐαγής Προυσιωτίσσης Μονή, τῇ τῶν σῶν λειψάνων εὑρέσει, χάριν πολλήν εὕρατο, καί δι' αὐτῶν παρέχει, ἁγιασμόν καί λύτρωσιν, παθῶν ἀκαθάρτων· Χριστός γάρ ὅν ἐδόξασας, ἱλασμόν καί φωτισμόν βραβεύει τοῖς σέ τιμῶσιν, Ἰωάννη μακάριε.

**Δόξα. Ὁ αὐτός.**

Τόν νέον τοῦ Σωτῆρος Ἀθλητήν, τόν ἐκ νυκτός ἀγνωσίας, ὡς ἀστέρα φαεινόν ἀνατείλαντα, Ἰωάννην τόν χαριτώνυμον, ὕμνοις καί ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν. Χριστῷ γάρ ἠκολούθησε, πατρῴαν ἀπάτην καταλιπών, ἐν τῇ ἐκλάμψει τοῦ θείου φωτός· καί τό οἰκεῖον αἷμα, ὑπέρ πᾶν μύρον τίμιον, ὡς δῶρον θεῖον καί προσφοράν ἐκλεκτήν, αὐτῷ προσενήνοχεν, ἀγαλλομένῃ ψυχῇ, ἀποτμηθείς τήν κεφαλήν. Αὐτῷ βοήσωμεν· Νεομάρτυς ἔνδοξε, Ἀθλητῶν ἰσότιμε, σύν αὐτοῖς ἱκέτευε, ὑπέρ τῶν τιμώντων σε.

**Καί νῦν. Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων, τούς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Εἰς τόν Στίχον, Στιχηρά Προσόμοια.**
**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!**

Μάρτυς Ἰωάννη ἔνδοξε, Ἀγαρηνῶν τήν ἀχλύν, νουνεχῶς καταλέλοιπας, φωτισθείς τῷ Πνεύματι, τῷ Ἁγίῳ θεόληπτε, καί ἀληθείᾳ καθοπλισάμενος, τάς

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

παρατάξεις τοῦ ψεύδους ὤλεσας· ὅθεν ἀπείληφας, νίκης τό διάδημα, παρά Χριστοῦ, τοῦ σέ ἐνισχύσαντος, ἑλεῖν τόν δράκοντα.

**Στίχ.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος...

Μάρτυς Ἰωάννη ἔνδοξε, ἐρηρεισμένος στερρῶς, θεμελίῳ τῆς πίστεως, οὐδαμῶς σεσάλευσαι, μηχαναῖς τοῦ ἀλάστορος, καί ὥσπερ ὄναρ πάντα λελόγισαι, θυμόν τυράννων εἱρκτάς καί μάστιγας· ὢ τῆς ἀνδρείας σου! Χαίρων γάρ ὑπέκλινες, τήν κεφαλήν, καί τμηθείς ἀνέδραμες, πρός τά οὐράνια.

**Στίχ.** Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Μάρτυς Ἰωάννη ἔνδοξε, ὡς στρατιώτης Χριστοῦ, καί ὁπλίτης ἀήττητος, ἐκτενῶς ἱκέτευε, χάριν δοῦναι καί ἔλεος, τῇ σῇ πατρίδι ἀνευφημούσῃ σε, και Ἀγρινίου τῇ πόλει Ἅγιε, τοῖς τήν ἐτήσιον, μνήμην σου χεραίρουσαν, ὡς ἄν ἀεί, πάσης ἀπαλλάττωνται, ἐναντιότητος.

**Δόξα.** Ἦχος πλ. δ΄.

Τῇ εὐσεβείᾳ λαμπρυνθείς, ἀθλητικόν ἠγωνίσω ἀγῶνα, στερροτάτῃ ψυχῇ, Ἰωάννη Νεομάρτυς μακάριε· τόν γάρ ἀόρατον ἐχθρόν, ἐν τῇ δυνάμει τοῦ Σταυροῦ, καταβαλών ἐθριάμβευσας, τῆς οὐρανίου κλήσεως, διεκφαίνων τάς χάριτας· καί τῆς αἰωνίου ζωῆς τόν στέφανον, παρά Χριστοῦ δεξάμενος τῶν πάλαι Μαρτύρων, ὤφθης ἰσοστάσιος· μεθ' ὧν ἱκέτευε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Καί νῦν. Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

**Νῦν ἀπολύεις, τό Τρισάγιον, καί τό Ἀπολυτίκιον.**

**Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Τῆς Κονίτσης τόν γόνον Βραχωρίου τό καύχημα, καί Χριστοῦ ὁπλίτην τόν νέον Ἰωάννην τιμήσωμεν· ἐκ ρίζης γάρ δυσώδους προελθών, ἐνήθλησε λαμπρῶς ὑπέρ Χριστοῦ, καί κινδύνων ἐξαιτεῖται ἀπαλλαγήν, τοῖς πρός αὐτόν κραυγάζουσι· Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διά σοῦ, ἡμῖν παθῶν ἐκλύτρωσιν.

**Θεοτοκίον.**

Τοῦ Γαβριήλ φθεγξαμένου σοι, Παρθένε τό χαῖρε, σύν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοί τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τόν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διά τοῦ τόκου σου.

**Ἀπόλυσις**

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετά τήν α΄. Στιχολογίαν, Κάθισμα.**
**Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.**

Τά θήρατρα φυγών, τῆς ἀπάτης θεόφρον, προσῆλθες τῷ Χριστῷ, ὁλοτρόπῳ ἐφέσει, καί πᾶσαν καταβέβληκας, τοῦ ἐχθροῦ τήν παράταξιν, τῇ ἀθλήσει σου, ὡς ἀληθῶς Ἰωάννη. Ὅθεν σήμερον, τήν σήν γεραίρομεν μνήμην, Χριστόν μεγαλύνοντες.

**Θεοτοκίον.**

Τόν θρόνον τοῦ Θεοῦ, τόν λαμπρόν καί φωσφόρον, τόν νέον οὐρανόν, τοῦ Δεσπότου τῶν ὅλων, τήν τράπεζαν τήν ἔμψυχον, τήν ἀφράστως βαστάζουσαν, τόν οὐράνιον, καί ζωοδώρητον ἄρτον, ἀνυμνήσωμεν, τήν Θεοτόκον Μαρίαν, ἡμῶν τήν βοήθειαν.

**Μετά τήν β΄. Στιχολογίαν, Κάθισμα.**
**Ἦχος δ΄. Ταχύ προκατάλαβε.**

Τῷ φέγγει τῆς πίστεως, καταυγασθείς τήν ψυχήν, ἀθλήσεως σκάμμασι, τόν παλαιόν πτερνιστήν, κατέβαλες Ἅγιε. Ὅθεν τῇ ἀνευρέσει, τῶν σεπτῶν σου λειψάνων, εὔφρανας τάς καρδίας, τῶν πιστῶς σε ὑμνούντων, παμμάκαρ Ἰωάννη, Μαρτύρων ἰσότιμε.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Θεοτοκίον.

Αγνή Ἀειπάρθενε, ἡ τόν Σωτῆρα Χριστόν, τῷ κόσμῳ κυήσασα, ἐκ τῆς ἀρχαίας ἀρᾶς, ἡμᾶς ἐκλυτρούμενον, ρῦσαί με τῆς μανίας, τοῦ δολίου Βελίαρ· στῆσόν με ἐπί πέτραν, τῶν Χριστοῦ θελημάτων, καί σῶσόν με Πανάμωμε, μελλούσης κατακρίσεως.

Μετά τόν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. α΄. Τόν Συνάναρχον Λόγον.

Ο βλαστός τῆς Κονίτσης καί θεῖον καύχημα, Βραχωρίου τό κλέος καί σεμνολόγημα, Ἰωάννης ὁ κλεινός ἀνευφημείσθω μοι· ὅτι τήν πλάνην τοῦ ἐχθροῦ, καταισχύνας ἐμφανῶς, ἀγῶσι τοῦ μαρτυρίου, Χριστῷ ἀπαύστως πρεσβεύει, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Θεοτοκίον.

Ο τῶν ὅλων Δεσπότης δι' ἀγαθότητα, προσλαβών ἐξ αἱμάτων σου τό ἡμέτερον, πρός τήν πρώτην καλλονήν ἡμᾶς ἀνήγαγε, καί προστάτιν ἀψευδῆ, καί βοήθειαν θερμήν, τοῦ κόσμου σε Θεοτόκε, ἀνέδειξε λυτρουμένην, πάσης ἀνάγκης τούς ὑμνοῦντάς σε.

Τό α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου καί τό Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος...

Στίχ. **Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Εὐαγγέλιον τό τοῦ ῾Αγ. Γεωργίου.**

῾Ο Ν΄. **Δόξα.** Ταῖς τοῦ ᾿Αθλοφόρου...

**Καί νῦν.** Ταῖς τῆς Θεοτόκου...

**᾿Ιδιόμελον. ῏Ηχος πλ. β΄.**

Στίχ. **᾿Ελέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...**

Τόν μαργαρίτην τῆς ζωῆς, ἐν τῷ ταμείῳ τῆς ψυχῆς πλουτήσας, τήν πενίαν τῆς πλάνης ἔλιπες, καί τῆς ματαίας ἀναστροφῆς ἀπέστης, ᾿Ιωάννη θεόφρον· ὅλον γάρ τόν νοῦν Χριστῷ ἀνέθου, καί τῶν ἐντολῶν αὐτοῦ ἐργάτης γενόμενος, ἀθλητικόν ἤνυσας δίαυλον, ἀνενδότῳ φρονήματι. Καί νῦν τῆς ἄνω δόξης κατατρυφῶν, πρέσβευε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

**Σῶσον ὁ Θεός τόν λαόν σου...**

Εἶτα οἱ Κανόνες τῆς Θεοτόκου καί τοῦ ῾Αγίου, φέρων τήνδε ἀκροστιχίδα:

**«Τοῦ ᾿Ιωάννου ᾄδω τούς ἀθλους. Γερασίμου».**

᾿Ωδή α΄. ῏Ηχος δ΄. ᾿Ανοίξω τό στόμα μου.

Τόν νοῦν μου καταύγασον, ταῖς πρός Θεόν ἱκεσίαις σου, καί λόγον μοι δώρησαι, ἵνα ὑμνήσω φαιδρῶς, τούς ἀγῶνάς σου, παμμάκαρ ᾿Ιωάννη, δι᾿ ὧν καταβέβληκας, ἐχθρόν τόν δόλιον.

Ο νοῦς σου τῆς χάριτος, τό θεῖον φῶς εἰσδεξάμενος, τῆς πλάνης κατέλιπε, νύκτα καχέσπερον· ἔνθεν Ἅγιε, υἱός φωτός ἐδείχθης, καί σκότους τόν ἄρχοντα, κατετραυμάτισας.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Υπέρτερος γέγονας, δελεασμάτων τοῦ ὄφεως, ψυχῆς σου τήν ἔφεσιν, ἔχων πρός Κύριον, παρ' οὗ Ἅγιε, ἰσχύν λαμβάνων θείαν, σαρκός τήν ἀσθένειαν, πᾶσαν ἀπέρριψας.

### Θεοτοκίον.

Ιλύος με λύτρωσαι, παθῶν Ἁγνή τῶν θλιβόντων με, καί γνώμην θεόφρονα, καί λογισμόν εὐσταθῆ, ἀεί δίδου μοι, ἵνα ἐν μετανοίᾳ, ζωῆς τό ὑπόλοιπον, ἀνύσω Ἄχραντε.

### Ὠδή γ΄. Τούς σούς ὑμνολόγους.

Ως ἄστρον νεόφωτον ἐφάνης ἐκ σκότους ἀγνοίας προελθών, τῇ Ἐκκλησίᾳ Ἅγιε, καί ταύτην κατελάμπρυνας, ἀκτῖσι τῶν καμάτων σου, ὡς Ἀθλητής ἐνθεώτατος.

Αγίων Μαρτύρων τούς ἀγῶνας, τῶν πάλαι ζηλώσας συνεχῶς, μαρτυρικῶς ἠγώνισαι, κατά τοῦ πολεμήτορος, ὦ Ἰωάννη ἔνδοξε, καί ἐπαξίως δεδόξασαι.

Νικήσας ἐχθροῦ τάς μεθοδείας, δυνάμει τῇ θείᾳ κρατυνθείς, ἐνήθλησας στερρότατα, ὦ Ἰωάννη ἔνδοξε, καί ἤσχυνας τόν δράκοντα, ὁμολογίᾳ τῆς πίστεως.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### Θεοτοκίον.

Νεκρώσας ὁ δόλιός με ὄφις, κακίστη Παρθένε συμβουλῇ χαίρει τῇ ἀπωλείᾳ μου, ἀλλά σύ με εξέγειρον, ἐξ ὕπνου ματαιότητος, πρός ἐργασίαν τοῦ κρείττονος.

### Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Οὐκ ἐπτοήθης τόν θυμόν τῶν τυράννων, οὐ κατεκλάσθης δωρεῶν χορηγίᾳ, ἀλλ' ἀπτοήτῳ στόματι ἐκραύγαζες· Οὐκ ἀρνοῦμαι ἄνομοι, τόν Χριστόν μου καί Πλάστην· ὅθεν καί ὑπέκλινας τόν αὐχένα τῷ ξίφει, καί νικηφόρος ὤφθης Ἀθλητής, ὦ Ἰωάννη, τοῦ πάντων Δεσπόζοντος.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### Θεοτοκίον.

Σάρκα λαβών ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ὁ τῶν ἁπάντων Ποιητής καί Δεσπότης, πρός τήν ἀρχαίαν δόξαν ἐπανήγαγεν, ἐκ τῆς πάλαι πτώσεως, τούς Ἁγνήν Θεοτόκον, Κόρη σε δοξάζοντας, καί ὑμνοῦντας ἀπαύστως, τό ὑπέρ νοῦν μυστήριον Ἁγνή, τῆς σῆς ἀφράστου, καί θείας κυήσεως.

### Ὠδή δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ολικῶς σου τήν καρδίαν, ἀνατείνων πρός Κύριον, μάκαρ Ἰωάννη, πάντων τῶν φθαρτῶν κατεφρόνησας, πρός ἀφθαρσίαν θεόφρον ἐπειγόμενος, ἧς καί ἔτυχες, καλῶς τελέσας τόν δρόμον σου.

Υπεράνω τῶν ἐν κόσμῳ, ἐγνωρίσθης μακάριε, ὅτε εἰσεδέξω, τῆς θεογνωσίας τήν ἔλλαμψιν, καί μαρτυρίου πρός πάλην προσεχώρησας, δυναμούμενος, τῇ παντευχίᾳ τῆς χάριτος.

Αλγηδόνας καί καθείρξεις, ἀπειλάς τε καί μάστιγας, μή εἰς νοῦν λαμβάνων, ἤνυσας στερρῶς τόν ἀγῶνά σου, καί Ἀθλητῶν Ἰωάννη ισοστάσιος, ἐχρηματίσας, φωτός ἀρρήτου πληρούμενος.

### Θεοτοκίον.

Δόξαν σου τήν ὑπέρ λόγον, καί τήν χάριν τήν ἄφθονον, καί τά μεγαλεῖα, τῆς ὑπερφυοῦς σου λαμπρότητος, ὑμνολογοῦμεν Παρθένε καί βοῶμέν σοι· Χαῖρε Δέσποινα, παντός τοῦ κόσμου προσφύγιον.

### Ὠδή ε΄. Ἐξέστη τά σύμπαντα.

Ως πλοῦτον οὐράνιον, τά ἱερά σου λείψανα, ἡ Προυσιωτίσσης θεία Μάνδρα, καταπλουτοῦσα ἄνεύσει κρίττονι, πάλαι κεκρυμμένα ἐν αὐτῇ, Ἰωάννη εὕρατο, ἀνυμνεῖ τούς ἀγῶνάς σου.

Τοῖς ἄθλοις ἐφάμιλλος, καί δόξῃ ἰσοστάσιος, ὤφθης τῶν κλεινῶν πάλαι Μαρτύρων, ὡς ἐναθλήσας ὑπέρ Χριστοῦ ἀνδρικῶς, μεθ' ὧν Ἰωάννη ἐκτενῶς πρέσβευε δεόμεθα, ἡμῖν δοῦναι συγχώρησιν.

Οὐδόλως κατέπτηξας, Ἀγαρηνῶν την ἔφοδον, οὔτε τοῦ Βελίαρ τήν μανίαν, Χριστοῦ τήν κλῆσιν ὁμολογῶν εὐθαρσῶς, καί ἀποτμηθείς τήν κεφαλήν, ρείθροις τῶν αἱμάτων σου, τήν ἀπάτην κατέκλυσας.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Θεοτοκίον.**

Υψίστου ἀνάκτορον, καί φωτοφόρν σκήνωμα, ὤφθης ὑπέρ λόγον Θεοτόκε, τοῦ προελθόντος ἐκ τῶν αἱμάτων σου· ὅθεν κἀμέ ἔργασαι Ἁγνή, οἶκον θείας χάριτος, διά βίου σεμνότητος.

**Ὠδή στ΄. Τήν θείαν ταύτην.**

Σαρκός σου Μάρτυς ἠλόγησας, σφοδρῶς αἰκιζομένης ταῖς μάστιξιν· ὅθεν πρός ἄπονον, ζωήν καί δόξαν οὐράνιον, παμμάκαρ Ἰωάννη, χαίρων ἀνέδραμες.

Ἀγαλλιᾶται τῇ δόξῃ σου, ἡ Κόνιτσα ἡ σέ γαλουχήσασα, καί τήν ἁγίαν σου, μνήμην τελοῦσα γεραίρει σου, παμμάκαρ Ἰωάννη, τήν θείαν ἄθλησιν.

Θεῖόν σε κέκτηται καύχημα, ἡ πόλις Βραχωρίου μακάριε, ἐν ᾗ τό αἷμά σου, ὑπέρ Χριστοῦ χαίρων κέχυκας, καί ἄγει Ἰωάννη, λαμπρῶς τήν μνήμην σου.

**Θεοτοκίον.**

Λυχνία ὤφθης ἑπτάφωτος, τεκοῦσα τοῦ Πατρός τό ἀπαύγασμα, σαρκός παχύτητι, Θεοχαρίτωτε Δέσποινα· διό τοῦ σκοτασμοῦ με, παθῶν ἀπάλλαξον.

**Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.**

Εορτάζει σήμερον, τοῦ Βραχοωρίου ἡ πόλις, σύν Κονίτσῃ Ἅγιε, τήν φωτοφόρον σου μνήμην· γόνος γάρ, τῆς μέν ὑπάρχεις καί θεῖον γέρας, καύχημα,

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

τῆς δέ ὡς ταύτην καθαγιάσας, τῶν αἱμάτων σου τοῖς ρείθροις, ὦ Ἰωάννη Μαρτύρων σύσκηνε.

## Ὁ Οἶκος.

Ἐκ δυσώδους ριζουχίας ἐκβλαστήσας, ὡς φυτόν μέλλον τά κρείττονα ἀνθῆσαι, τῆς ἀπάτης ἀπεβάλου τά ράκη, καί τῆς θεογνωσίας ἠμφιάσω τόν ὑπέρλαμπρον χιτῶνα, βεβαμμένον τῷ αἵματι, τοῦ ὑπέρ ἡμῶν ἑκουσίως τυθέντος, ὡς ἀμνοῦ ἀμώμου καί ἀσπίλου, Χριστοῦ τοῦ Ζωοδότου, Ἰωάννη παμμακάριστε· ᾧ καί ὅλῃ διανοίᾳ ἀκολουθήσας, σεαυτόν ἠρνήσω, καί τῷ θείῳ θελήματι ὁλοσχερῶς τόν νοῦν καθυπέταξας· καί ὑπεράνω τῶν ἐν κόσμῳ γεγονώς, Ἀγαρηνῶν τό θράσος οὐκ ἐδειλίασας, ἀλλ' ἀτρέπτῳ καρδίᾳ, μαρτυρικόν ὑπῆλθες στάδιον, καί νομίμως κατά τῆς πλάνης ἠγώνισαι· καί αἱμάτων ρείθροις τήν Ἐκκλησίαν ἀρδεύσας, τόν Χριστόν ἐδόξασας, ὦ Ἰωάννη Μαρτύρων σύσκηνε.

## Συναξάριον.

Τῇ κγ´ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Ἰωάννου, τοῦ ἐκ Κονίτσης τῆς Ἠπείρου καταγομένου, καί ἐν Βραχωρίῳ (Ἀγρινίῳ) τῆς Αἰτωλίας ἀθλήσαντος ἐν ἔτι 1814.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### Στίχοι

**Ρίζης δυσώδους ἐκφυείς Ἰωάννη**
**Ἀθλήσεως ἤνεγκας καρπούς ἡδίστους.**
**Εἰκάδι τριτάτη δειρήν Ἰωάννου κέρσαν ἀπηνῶς.**

Οὗτος ἦν ἐκ Κονίτσης, κωμοπόλεως τῆς Ἠπείρου, γεννηθείς ἐξ Ὀθωμανῶν γονέων, παρ' ὧν καί ἀνετράφη τῇ ἰδίᾳ πλάνῃ, καταλεγείς τῷ τάγματι τῷ λεγομένῳ τῶν Δερβισῶν παρά τοῦ πατρός αὐτοῦ, ὄντος Δερβίσου. Εἰκοσαετής γεγονώς, ἔζη βίον σεμνόν τοῖς χριστιανικοῖς νεύων ἤθεσι καί τρόποις ἐν πολλῇ συνέσει· καί μετ' οὐ πολύ, ἀφείς τήν οἰκείαν πλάνην, προσῆλθε τῷ φωτί τῆς θεογνωσίας, πεπιστευκώς Χριστῷ τῷ Θεῷ, καί ἀναγεννηθείς διά τοῦ θείου βαπτίσματος ἐν τῇ νήσῳ Ἰθάκῃ, ἔλαβε τό ὄνομα Ἰωάννης.

Ἐπανελθών ἐν Ξηρομέρῳ καί ἔν τινι ἐκεῖσε χωρίῳ παροικήσας, ᾧ ἡ κλῆσις Μαχαλάς, ἐνυμφεύθη σεμνήν τινα νέαν, μεθ' ἧς ἔζη βίον θεοφιλῆ καί χριστιανικόν. Μαθόντες οἱ προσήκοντες αὐτῷ, ὅτι ἐγένετο Χριστιανός, εὑρόντες τοῦτον παντοίοις ἐχρήσαντο τρόποις, ἵνα μεταστήσωσι τῇ προτέρᾳ πλάνῃ. Παραστήσαντες τοῦτον τῷ ἐν Βραχωρίῳ κριτῇ τῶν Ἀγαρηνῶν, ὁμολογήσαντα διατόρως καί ἐν πολλῇ παρρησίᾳ τήν εἰς Χριστόν ἀμετάθετον αὐτοῦ πίστιν καί μή ὑπενδόντα ἀπειλαῖς καί ἐπαγγελίαις καί εἱρκταῖς καί πλείσταις τιμωρίαις καί κολάσεσιν, ἀπέτεμον τήν τιμίαν αὐτοῦ κεφαλήν τῇ κγ΄. μηνός Σεπτεμβρίου, ἐν ἡμέρᾳ Τετάρτῃ τῆς ἑβδομάδος, τοῦ σωτηρίου ἔτους 1814. Τό δέ τίμιον αὐτοῦ σῶμα ριφθέν οὐ μακράν τῆς Ἐκκλησίας τοῦ Ἁγίου Δημητρίου ἐτάφη παρά τινων εὐλαβῶν ἔν τινι ἀγρῷ, ὅν οἱ Βραχωρῖται ἔκτοτε τιμῶσιν. Ἐν ἔτει δέ 1974 εὑρέθησαν τά ἱερά αὐτοῦ λείψανα ἐν τῇ ἱερᾷ τῆς Προυσιωτίσσης Μονῇ, ἀποκρυβέντα πάλαι ἐκεῖσε, μετά τήν ἐκ τάφου ἀνακομιδήν.

Ταῖς αὐτοῦ πρεσβίαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### ᾿Ωδή ζ΄. Οὐκ ἐλάτρευσαν.

Οὐκ ἐπτόησαι, βασάνων τό ἐπίπονον, γνώμῃ θεόφρονι, ὁμολογῶν τόν Χριστόν, καί ἄτρεπτος ἔστηκας, ξίφει τῷ τέμνοντι· ὅθεν μέτοχος, τῆς ὑπέρ νοῦν λαμπρότητος, ᾿Ιωάννη ἀνεδείχθης.

Υμνοις Ἅγιε, οι Βραχωρῖται μέλπουσι, τά σά παλαίσματα, καί πρός Χριστόν σε θερμόν, μεσίτην προβάλλοντες, ἀναβοῶσί σοι· ᾿Αεί πρέσβευε, πάσης ἀνάγκης ρύεσθαι, ἡμᾶς Μάρτυς ᾿Ιωάννη.

Σέ ἡ Κόνιτσα, ὑμνολογοῦσα Ἅγιε, ἡ σε βλαστήσασα, από ψυχῆς σοι βοᾷ· Δεινῶν περιστάσεων, φύλαττε ἄτρωτον, τήν πατρίδα σου, προστρέχουσαν τῇ σκέπῃ σου, ᾿Ιωάννη Νεομάρτυς.

### Θεοτοκίον.

Γνώμην δίδου μοι, εὐθεῖαν καί διάνοιαν, ἀεί τά μένοντα, ἐπιποθοῦσαν θερμῶς καί πάσης φαυλότητος, τοῦ πολεμήτορος, τήν καρδίαν μου, ἀμόλυντον καί ἄτρωτον, διατήρει Θεοτόκε.

### ᾿Ωδή η΄. Παῖδας εὐαγεῖς.

Ετεμες τῆς πλάνης τήν ἀπάτην, τμηθείς σου τήν κεφαλήν στερρῷ φρονήματι, καί πρός ὑπερκόσμια, ἔδραμες σκηνώματα, μαρτυρικῇ λαμπόμενος δόξῃ καί χάριτι, ὡς Μάρτυς ἀληθής τοῦ Σωτῆρος, καί τῶν ᾿Αθλοφόρων, ὁμότροπος ἐν πᾶσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Ρείθροις τῶν χυθέντων σου αἱμάτων, τήν πόλιν τοῦ Βραχωρίῳ μάκαρ ἤρευσας· ἔνθεν ταῖς πρεσβείαις σου, γλυκασμόν χρηστότητος, τῆς θεϊκῆς ἑκάστοτε καρποῦται Ἅγιε· διό καί τήν ἁγίαν σου μνήμην, ἄγει Ἰωάννη, Χριστόν δοξολογοῦσα.

Ἄφθαρτον διάδημα ἐδέξω, τελέσας σου τόν ἀγῶνα τῆς ἀθλήσεως, ἐκ χειρός μακάριε, τοῦ σέ μεγαλύνοντος, καί τό σεπτόν σου λείψανον ἐν εὐλαβείᾳ πολλῇ, ταφέν ἐν τῷ ἀγρῷ Ἰωάννη, Βραχωρίταις νέμει, ἁγιασμόν καί χάριν.

Θεοτοκίον.

Σάρκα προσλαβών ἀναλλοιώτως, Παρθένε ὁ Ὑπερούσιος καί Κύριος, ἐκ τῶν σῶν Πανάχραντε, αἱμάτων δι' ἔλεος, βροτῶν τήν φύσιν ὕψωσε καί ἐθεούργησε, νεκρώσας τόν νεκρώσαντα πάλαι, δόλῳ καί ἀπάτῃ, τούς ἡμῶν γενάρχας.

Ὠδή θ΄. Ἅπας γηγενής.

Ἴσχυσας σοφέ, δυνάμει τῇ ἄνωθεν ἐνδυναμούμενος, καθελεῖν τόν δράκοντα, καί τόν ἀγῶνα τόν τῆς ἀθλήσεως, τόν μέγαν τε καί κάλλιστον ἀνῦσαι Ἅγιε· διά τοῦτο, Ἰωάννη ἔνδοξε, εὐκληρίας μεγίστης ἠξίωσαι.

Μνήμην τήν σεπτήν, τῆς σῆς ἑορτάζομεν, θείας ἀθλήσεως, Ἰωάννη Ἅγιε, καί τά σεπτά σου τιμῶμεν λείψανα, ἅ ἡ Μονή κατέχουσα Προυσιωτίσσης

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

βοᾷ· Νεομάρτυς, πάντας τούς τιμῶντάς σε, περιφρούρει καί ρύου ἐκ θλίψεων.

Ορμον γαληνόν, κατέλαβες Ἅγιε, ζωῆς τῆς κρείττονος, καί τῆς ὑπέρ ἔννοιαν, κατηξιώθης ἀγαλλιάσεως· διό σκέπε τήν Κόνιτσαν καί τό Ἀγρίονιον, Ἰωάννη, πάσης περιστάσεως, παρρησίαν ὡς ἔχων πρός Κύριον.

**Θεοτοκίον.**

Υψιστον Θεόν, δι' ἄφατον ἔλεος κυοφορήσασα, σάρκα προσλαβόμενον, ἐκ τῶν ἀχράντων Ἁγνή αἱμάτων σου, ἐκ λάκκου ματαιότητος τόν νοῦν μου ὕψωσον, πρός ἀγάπην, τοῦ ἐκ σοῦ ἐκλάμψαντος, Θεοτόκε ἡμῶν ἡ βοήθεια.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Αγάπη τῇ τοῦ Κτίστου σου, ὑπῆλθες τό μαρτύριον, ἀκαταπλήκτῳ καρδίᾳ, καί ἤσχυνας τήν ἀπάτην· διό τῆς τῶν Μαρτύρων σε, ἠξίωσε λαμπρότητος, ὦ Ἰωάννη ἔνδοξε, ὁ προσδεχθείς σου τούς πόνους, Χριστός ὁ πάντων Δεσπότης.

**Θεοτοκίον.**

Μαρία Ἀειπάρθενε, Χριστιανῶν προσφύγιον, τόν σόν Υἱόν καί Δεσπότην, καί Βασιλέα τῶν ὅλων, απαύστως καθικέτευε, δοῦναι πταισμάτων ἄφεσιν, καί τῶν παθῶν τήν ἴασιν, τοῖς ἀνυμνοῦσί σε Κόρη, ὡς ἀληθῆ Θεοτόκον.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

## Εἰς τούς Αἴνους

**Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἑξῆς**
**Προσόμοια.**
**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Πανεύφημε Μάρτυς τοῦ Χριστοῦ πίστιν τήν ἀμώμητον, ἐν τῇ ψυχῇ σου δεξάμενος, καλῶς ἠγώνισαι, κατά τῆς ἀπάτης, πόνοις τῆς ἀθλήσεως· διό ὑπερκοσμίων βραβείων σε, Χριστός ἠξίωσεν, Ἰωάννη ὅν ἱκέτευε, ὑπέρ πάντων, τῶν ἀνευφημούντων σε.

Ἐκ ρίζης δυσώδους Ἀθλητά, ὡς ἄνθος ἀμάραντον, ὡς ἀληθῶς ἀνεβλάστησας, καί τῶν ἀγώνων σου, θείᾳ εὐωδίᾳ, τάς καρδίας εὔφρανας, τῶν πίστει Ἰωάννη τιμώντων σε, ὡς Νεομάρτυρα, τοῦ Σωτῆρος ἐνθεώτατον· ὅν δυσώπει, δοῦναι ἡμῖν ἔλεος.

Ἡ Κόνιτσα χαίρει καί σκιρτᾷ, Ἰωάννη ἔνδοξε, μαρτυρικῇ σου λαμπρότητι, καί τήν ἁγίαν σου, μνήμην ἑορτάζει, πόθῳ ἐκβοῶσά σοι· Ὡς ἔχων παρρησίαν πρός Κύριον, ἀεί ἱκέτευε, Νεομάρτυς τῇ πατρίδι σου, καταπέμψαι, εἰρήνην καί ἔλεος.

Χορεύει ἡ πόλις μυστικῶς, Βραχωρίου σήμερον, ἐπιτελοῦσα τήν μνήμην σου, ᾠδαῖς καί ᾄσμασιν, ἐν ᾗ τόν ἀγῶνα, τόν καλόν ἐτέλεσας, ᾗ δίδου Ἰωάννη πρεσβείαις σου, χάριν καί ἔλεος, οὐρανόθεν ἐκλυτρούμενος, ἀπό πάσης, ταύτην περιστάσεως.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Δόξα. Ἦχος πλ. α΄.**

Τῆς ἀληθείας τό φῶς, ἐπιλάμψαν τῇ ψυχῇ σου, ἡμεροφαῆ σε ἀστέρα ἔδειξεν, Ἰωάννη μακάριε· λύχνος γάρ τοῖς ποσί σου, κατά Δαβίδ ὁ θεῖος νόμος γέγονε, καί τήν ὁδόν τοῦ μαρτυρίου, ἀπροσκόπτως διέβης, πάντα τοῦ ἐχθροῦ, ὑποσκελίσας τά σκάνδαλα· ὅθεν τῆς ἄνω δόξης, κοινωνός ἐγένου, τόν καρπόν τῆς ζωῆς δρεπόμενος, καί σύν Ἁγίοις Μάρτυσιν, οἷα Μάρτυς εὐκλεής, ἐν μετοχῇ θεούμενος· μεθ' ὧν πρέσβευε δεόμεθα, τῷ πάντων Σωτῆρι, ὑπέρ ἡμῶν τῶν τιμώντων σου τήν θείαν ἄθλησιν.

**Καί νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε οἱ πιστοί κατά χρέος, τήν πόλιν τήν ἄσειστον, τό τεῖχος τό ἄρρηκτον, τήν ἀρραγῆ προστασίαν, καί καταφυγήν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία Μεγάλη, καί Ἀπόλυσις**

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τά τυπικά, οἱ Μακαρισμοί καί ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄. καί στ΄. ᾠδή. Ἀπόστολον ζήτει τῇ κζ΄. Κυριακῇ, Εὐαγγέλιον τοῦ Ἁγίου Γεωργίου.**

**Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον...**

## Μεγαλυνάριον.

Χαίροις τῆς Κονίτσης θεῖος βλαστός, καί τοῦ Ἀγρινίου, ὁ προστάτης καί ἀρωγός· χαίροις Ἰωάννη, Κυρίου Νεομάρτυς, ὁ ἄφεσιν πταισμάτων, ἡμῖν αἰτούμενος.

### Δίστιχον.

Ἰωάννη ἄνωθεν χάριν μοι δίδου
Γερασίμῳ μέλψαντι τήν ἄθλησίν σου!



Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ

## ΙΩΑΝΝΗΝ

ΤΟΝ ΕΚ ΚΟΝΙΤΣΗΣ ΚΑΤΑΓΟΜΕΝΟΝ ΚΑΙ ΕΝ ΒΡΑΧΩΡΙῼ
ΤΗΣ ΑΙΤΩΛΙΑΣ ΜΑΡΤΥΡΗΣΑΝΤΑ

**ΠΟΙΗΜΑ**

**ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ**

**Εὐλογήσαντος τοῦ Ἱερέως**

**τό Κύριε εἰσάκουσον, μεθ' ὅ τό Θεός Κύριος ὡς συνήθως, καί τά ἑξῆς:**
**Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.**

Ὡς Νεομάρτυς ἀληθής τοῦ Σωτῆρος, καί κοινωνός τῆς ὑπέρ νοῦν εὐφροσύνης, ὑπέρ ἡμῶν ἱκέτευε ἑκάστοτε, πάσης ἡμᾶς ρύεσθαι, προσβολῆς καί ἀνάγ-

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

κης, καί παντοίων θλίψεων, Ἰωάννη θεόφρον, καί τῶν πταισμάτων ἄφεσιν λαβεῖν, τούς τῇ σεπτῇ σου, πρεσβείᾳ προστρέχοντας.

**Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσωμέν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων, τίς δέ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ὁ Ν΄. καί ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:**

**«Χάριν πιστοῖς Ἰωάννη αἴτει. Γερασίμου».**

**Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.**

Χαράν ἡμῖν αἴτει τήν ἀληθῆ, καί λύσιν πταισμάτων, καί τῆς λύπης ἀπαλλαγήν, τοῖς πίστει παμμάκαρ Ἰωάννη, τῇ πρός Χριστόν ἱκεσίᾳ σου σπεύδουσιν.

Ἀθλήσας νομίμως ὑπέρ Χριστοῦ, πάσης ἀνομίας, καί κινδύνων παντοδαπῶν, ἀπήμονας τήρει Νεομάρτυς, τούς τῇ θερμῇ σου πρεσβείᾳ προστρέχοντας.

Ῥαντίσματι Μάρτυς τῶν ἱερῶν, αἱμάτων σου σβέσον, παθημάτων πυρκαϊάν, ἡμῶν Ἰωάννη Ἀθλοφόρε, τόν Ζωοδότην ἡμῖν ἱλεούμενος.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Θεοτοκίον.

Ιλύος με λύτρωσαι τῶν παθῶν, ἡ τῆς ἀπαθείας, ἡμῖν τέξασα τήν πηγήν, καί κάθαρον Κόρη τήν ψυχήν μου, τῶν οἰκτιρμῶν τοῦ Υἱοῦ σου τοῖς νάμασι.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Νέος ὤφθης ὁπλίτης, πλάνης λιπών σύνδεσμον, τοῦ Παμβασιλέως τῆς δόξης, ἀθλήσας ἄριστα· ὅθεν με σύνδησον, τούτου τῇ θείᾳ ἀγάπῃ, Ἰωάννη ἔνδοξε, ταῖς ἱκεσίαις σου.

Πλήρης ὢν Ἰωάννη, τῆς θεϊκῆς χάριτος, οἷα Νεομάρτυς Κυρίου, πλήρωσον δέομαι, φωτός τοῦ κρείττονος, τήν σκοτισθεῖσαν ψυχήν μου, καί πόρρω ἀπέλασον, σκότους τόν ἄρχοντα.

Ἱλασμόν τῶν πταισμάτων, καί τῶν παθῶν ἴασιν, αἴτει Ἰωάννη τρισμάκαρ, τοῖς καταφεύγουσι, τῇ ἀντιλήψει σου, καί τόν Σωτῆρα δυσώπει, τῆς μελλούσης κρίσεως, ἡμᾶς λυτρώσασθαι.

Θεοτοκίον.

Σαρκωθείς ἀπορρήτως, ὁ τοῦ παντός αἴτιος, ἐκ τῶν σῶν ἀχράντων αἱμάτων Θεοχαρίτωτε, πύλην σε ἔδειξε, πρός ἀσφαλῆ σωτηρίαν, ἄγουσαν Πανάμωμε, τούς σέ δοξάζοντας.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Διάσωσον ταῖς πρός Θεόν ἱκεσίαις σου Ἰωάννη, τούς τῇ σκέπῃ τῶν πρεσβειῶν σου προστρέχοντας, δυσχερειῶν τῶν ἐν βίῳ καί πάσης βλάβης.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

**Αἴτησις, καί τό Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Χριστῷ τῷ Θεῷ, ὦ Ἰωάννη πρέσβευε, διδόναι ἡμῖν, πταισμάτων τήν συγχώρησιν, καί παθῶν ἐκλύτρωσιν, καί εἰρήνης ἀτρέπτου τάς χάριτας, καί τῆς μελλούσης ζωῆς μετασχεῖν, τούς μέλποντας Μάρτυς τήν σήν ἄθλησιν.

**Ὠδή δ΄. Εἰσακήκοα Κύριε.**

Τοῦ ἐχθροῦ τά βουλεύματα, τά μανιωδῶς ἀεί τεκταινόμενα, καθ' ἡμῶν Μάρτυς κατάργησον, ταῖς πρός τόν Σωτῆρα ἱκεσίαις σου.

Οἱ τῇ θείᾳ Εἰκόνι σου, πίστει προσιόντες χάριν λαμβάνουσιν, Ἰωάννη μεγαλύνοντες, τόν σέ ἐν τοῖς ἄθλοις ἐνισχύσαντα.

Ἵνα θείας χρηστότητος, θείων διαδόσεως μετασχοίημεν, Ἰωάννη καθικέτευε, τοῦ ἐλέους ἄβυσσον τόν Κύριον.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### Θεοτοκίον.

Σωτηρίας ἀξίωσον, τούς τῇ σῇ προστρέχοντας ἀγαθότητι, Θεοτόκε, Ἀειπάρθενε, ἡ Χριστόν τεκοῦσα κόσμον σώζοντα.

### Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ἴθυνον ἡμῶν, τήν ζωήν ταῖς ἱκεσίαις σου, πρός λιμένα ἐντολῶν τῶν τοῦ Χριστοῦ, Ἰωάννη ταραχώδους ἐκ συγχύσεως.

Ὡς θεῖον βλαστόν, μακαρίζει σε ἡ Κόνιτσα· ἥν θερμαῖς σου μεσιτείαις πρός Χριστόν, Ἰωάννη πάσης θλίψεως ἀπάλλαττε.

Ἄνωθεν ἀεί, Βραχωρίου πόλει πάρεχε, εὐλογίαν καί εἰρήνην εὐσταθῆ, Ἰωάννη ἥν ἡγίασας τοῖς ἄθλοις σου.

### Θεοτοκίον.

Νόμῳ τοῦ Θεοῦ, τῆς σαρκός μου καθυπόταξον, τάς κινήσεις Θεοτόκε δυσωπῶ, καί εἰρήνευσον ψυχῆς μου τήν κατάστασιν.

### Ὠδή στ΄. Τήν δέησιν.

Νεκρώσας, τόν εὑρετήν της κακίας, προσελθών ἀπό ψυχῆς τῷ Σωτῆρι, καί ὑπέρ τούτου ἀθλήσας ἀνδρείως, τήν νεκρωθεῖσαν ψυχήν μου τοῖς πάθεσι, πρός μετανοίας τάς ὁδούς, Ἰωάννη ἐξέγειρον δέομαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Η πόλις, τοῦ Βραχωρίου τιμᾷ σε, ὡς προστάτην καί ἀγλάϊσμα θεῖον, πλέον δέ ταύτης ἡ Κόνιτσα χαίρει, ἡ σή πατρίς Ἰωάννη μακάριε, αἷς εὐλογίαν ἐκ Θεοῦ, καί εἰρήνην ἐξαίτει καί ἔλεος.

Αἱμάτων, τοῖς σταλαγμοῖς κατασβέσας, Ἰωάννη τῆς κακίας τήν φλόγα, τόν τῆς ψυχῆς μου πυρσόν ἀμελείᾳ, ἤδη σβεσθέντα ὑπάναψον δέομαι, ἔργων ἁγίων τῷ φωτί, ἵνα σκότους ρυσθῶ παραβάσεων.

**Θεοτοκίον.**

Ιάτρευσον, τῆς ψυχῆς μου τό ἄλγος, καί τήν κάκωσιν τοῦ σώμαος Κόρη, ἡ τόν Σωτῆρα τοῦ κόσμου τεκοῦσα, τόν τήν ἀρχαίαν πληγήν ἰασάμενον, καί δίδου μοι εὐθυπορεῖν, πρός ὁδούς τάς εὐθείας καί σῶσόν με.

Διάσωσον ταῖς πρός Θεόν ἱκεσίαις σου Ἰωάννη, τούς τῇ σκέπῃ τῶν πρεσβειῶν σου προστρέχοντας, δυσχερειῶν τῶν ἐν βίῳ καί πάσης βλάβης.

Αχραντε, ἡ διά λόγου τόν Λόγον...

**Αἴτησις καί τό Κοντάκιον.**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου ῥείθροις.**

Μαρτυρικῇ παρρησίᾳ πρός Κύριον, ὡς Νεομάρτυς Χριστοῦ ἀξιάγαστος, κινδύνων παντοίων καί θλίψεων, και ὀδυνῶν ἀνωτέρους διάσῳζε, τούς σέ Ἰωάννη γεραίροντας.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος ἡ ἐν τῷ Λιβάνῳ...

**Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

### Εὐαγγέλιον κατά Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπό τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γάρ ἐφ' ὑμᾶς τάς χεῖρας αὐτῶν καί διώξουσι, παραδιδόντες εἰς συναγωγάς καί φυλακάς, ἀγομένους ἐπί βασιλεῖς καί ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δέ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τάς καρδίας ὑμῶν, μή προμελετᾶν ἀπολογηθῆναι· ἐγώ γάρ δώσω ὑμῖν στόμα καί σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδέ ἀντιστῆναι πάντες οἱ αντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δέ καί ὑπό γονέων, καί ἀδελφῶν, καί συγγενῶν, καί φίλων, καί θανατώσουσιν ἐξ ὑμῶν· καί ἔσεσθε μισούμενοι ὑπό πάντων διά τό ὄνομά μου· καί θρίξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μή ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τάς ψυχάς ὑμῶν.

**Δόξα.** Ταῖς τοῦ Ἀθλοφόρου...
**Καί νῦν.** Ταῖς τῆς Θεοτόκου... ..

### Προσόμοιον.

**Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου.**

Πλάνης τήν σκοτόμαιναν, καταλιπών θείῳ πόθῳ, ἀνδρικῶς ἐνήθλησας, ὑπέρ τοῦ Παντάνακτος θερμῷ ἔρωτι, καί ζωῆς κρείττονος, κατηξιωμένος, Νεομάρτυς ἀξιάγαστε, ἀπαύστως πρέσβευε, πάσης

Δημόσια Κεντρική Βιβλιοθήκη Κοζάνης

συμφορᾶς καί κακώσεως, καί πάσης περιστάσεως, καί ἐπιβουλῆς τοῦ ἀλάστορος, ἀτρώτους τηρεῖσθαι, τούς μέλποντας τήν ἄθλησιν τήν σήν, δι' ἧς Χριστόν ἐμεγάλυνας, τόν σέ θαυμαστώσαντα.

**Σῶσον ὁ Θεός τόν λαόν σου...**
**Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τῷ τῆς νίκης στεφάνῳ, ὡς νικήσας τόν ὄφιν Μάρτυς τετίμησαι· διό κἀμέ νικῆσαι, τήν πλάνην τοῦ Βελίαρ, Ἰωάννη ἐνίσχυσον, καί ἐναρέτως Χριστῷ λατρεῦσαι μέχρι τέλους.

Ἐντολῶν τοῦ Σωτῆρος, γεωργεῖν Ἰωάννη χάριν τήν ἄφθονον, ἀμέμπτῳ πολιτείᾳ, ἐνίσχυσον λιταῖς σου, τούς ἐν πίστει προσπίπτοντας, τῇ θήκῃ τῇ ἱερᾷ, τῶν θείων σου λειψάνων.

Ἴδε Μάρτυς ὑψόθεν, τούς τῇ θείᾳ Εἰκόνι καί τοῖς λειψάνοις σου, προσπίπτοντας καί πλήρου, αὐτῶν ἐν συμπαθείᾳ, τάς αἰτήσες μακάριε, ὡς παρρησίαν πολλήν, πρός τόν Σωτῆρα ἔχων.

**Θεοτοκίον.**

Γνούς τόν δόλον τοῦ πλάνου, ἐξ αὐτοῦ Θεοτόκε οὐκ ἀπεπήδησα, ἀλλ' ἄφρονι καρδίᾳ, αὐτῷ κατεδουλώθην, σύ οὖν Κόρη μέ λύτρωσαι, τῆς τυραννίδος αὐτοῦ, τῆς ὀλεθριωτάτης.

Δημόσια Κεντρική Βιβλιοθήκη Κέντρου

## ᾨδή η΄. Τόν Βασιλέα.

Εὕρατο χάριν, Προυσιωτίσσης ἡ Μάνδρα, τῶν λειψάνων σου μαμμάκαρ τῇ εὑρέσει, ἐξ ὧν ἡμῖν χάρις, ἁγιασμοῦ βλυστάνει.

Ροῦν ἁμαρτίας, στῆσον ταῖς σαῖς ἱκεσίαις, κατακλύζοντα ἀθλίως τήν ψυχήν μου, καί χαρίτων ὄμβροις, κατάρδευσόν με Μάρτυς.

Αθλων ἁγίων, λαβών τά ἔπαθλα Μάρτυς, πάσης θλίψεως καί πάσης καχεξίας, ἀσινεῖς συντήρει, τούς σέ ἀνευφημοῦντας.

### Θεοτοκίον.

Σύ εἶ Παρθένε, ἁμαρτωλῶν σωτηρία, καί προσφύγιον τῶν σέ ὑμνολογούντων· ὅθεν κἀμέ σκέπε, τῆς τοῦ ἐχθροῦ ἀπάτης.

## ᾨδή θ΄. Κυρίως Θεοτόκον.

Ισχύϊ οὐρανίῳ, καθελών τόν ὄφιν, ἐκ τῆς αὐτοῦ κακουργίας ἀπάλλαξον, ὦ Ἰωάννη τούς πόθῳ σε μακαρίζοντας.

Μονάς τάς οὐρανίους, νῦν περιπολεύων, τούς ἐπί γῆς σε τιμῶντας διάσωζε, ἐπηρειῶν ὀλεθρίων Μάρτυς τοῦ ὄφεως.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Ὀδούς τάς σωτηρίους, νῦν ἡμᾶς βαδίζειν, ὦ Ἰωάννη ὑψόθεν ἐνίσχυσον, ὥς ἄν εἰσέλθωμεν πόλιν εἰς τήν οὐράνιον.

**Θεοτοκίον.**

Ὑψίστου χαῖρε Μῆτερ, Κεχαριτωμένη, χαῖρε Παρθένε ἡμῶν καταφύγιον, καί σωτηρία τοῦ κόσμου καί τεῖχος ἄσειστον.

**Τό Ἄξιον ἐστι, καί τά Μεγαλυνάρια.**

Πλάνης διαρρήξας πάντα δεσμόν, τῷ Χριστῷ προσῆλθες, Ἰωάννη ἀπό ψυχῆς, καί αὐτοῦ τό πάθος, ἀθλητικῶς ζηλώσας, τῆς ἄνω βασιλείας, ὤφθης συμμέτοχος.

Ἄνθος εὐωδέστατον καί τερπνόν, ἐκ ρίζης βλαστήσας, ἀκανθώδους καί δυσσεβοῦς, τήν τῆς εὐσεβείας, ὀσμήν ἔπνευσαν πᾶσιν ἀθλήσας Ἰωάννη, στερρῷ φρονήματι.

Ἀβρύνεται Κόνιτσα εὐσεβῶς, βλαστόν κεκτημένη, Ἰωάννη σε θαυμαστόν, ᾗ ἀπαύστως δίδου, ταῖς πρός Χριστόν λιταῖς σου, τῶν οἰκτιρμῶν τῶν θείων, θεῖα δωρήματα.

Ἐν τῷ Βραχωρίῳ περιφανῶς, ὑπέρ τῆς ἀγάπης μαρτυρήσας, τῆς τοῦ Χριστοῦ, δίδου Βραχωρίταις, τῶν θείων πρεσβειῶν σου, παμμάκαρ Ἰωάννη, χάριν τήν ἄφθονον.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Χαίροις τῶν Μαρτύρων ὁ κοινωνός, καί τῆς δυσσεβείας, καθαιρέτης, ὁ ἰσχυρός· χαίροις ὁ ἀρτίως, ἡμῖν ἀποκαλύψας, τά λείψανά σου Μάρτυς, νεύσει τῇ κρείττονι.

Ἔχων παρρησίαν πρός τόν Χριστόν, ὡς αὐτοῦ ὁπλίτης, Ἰωάννη νεοφανής, πρέσβευε ἀπαύστως, παθῶν καί πικρῶν νόσων, λυτροῦσθαι τούς τιμῶντας, τήν θείαν μνήμην σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

**Τό Τρισάγιον, τά συνήθη Τροπάρια, Ἐκτενής, καί Ἀπόλυσις, μεθ' ἥν ψάλλομεν τό ἑξῆς.**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Κλῆσιν χαριτώνυμον πλουτῶν, Μάρτυς τοῦ Χριστοῦ Ἰωάννη, ἀξιοθαύμαστε, χάριν ἡμῖν αἴτησαι, καί θεῖον ἔλεος, καί παθῶν ἀπολύτρωσιν, παρά τοῦ Σωτῆρος, καί σωμάτων τήν ἴασιν, καί θεραπείαν ψυχῶν, πᾶσι τοῖς προσπίπτουσι πόθῳ, καί ἀπό ψυχῆς αἰτουμένοις, τήν σήν προστασίαν καί ἀντίληψιν.

Δέσποινα πρόσδεξαι...

Τήν πᾶσαν ἐλπίδα μου...

**Δίστιχον.**

**Ἰωάννη αἴτησαι θείαν μοι χάριν**
**Γερασίμῳ σπεύδοντι τῇ σῇ πρεσβείᾳ.**

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΕΥΡΕΣΕΩΣ ΤΩΝ ΤΙΜΙΩΝ ΛΕΙΨΑΝΩΝ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΙΩΑΝΝΟΥ

ΤΟΥ ΕΚ ΚΟΝΙΤΣΗΣ

ΕΝ ΤῊ ΣΕΒΑΣΜΙᾼ ΚΑΙ ΙΕΡᾼ ΜΟΝῌ ΤΗΣ ΠΑΝΑΓΙΑΣ ΠΡΟΥΣΙΩΤΙΣΣΗΣ

## Τῌ 4η ΙΑΝΟΥΑΡΙΟΥ 1974

ΤΑΥΤῌ ΠΡΟΣΕΤΕΘΗΣΑΝ

Τροπάρια Οκτώηχα ψαλλόμενα κατά τήν προσκύνησιν
τῶν τιμίων αὐτοῦ λειψάνων




Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει
ὑπό

ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΝΙΤΟΥ

Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

# ΜΑΡΤΥΡΙΟΝ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ
# ΙΩΑΝΝΟΥ
## ΤΟΥ ΕΚ ΚΟΝΙΤΣΗΣ

Ὁ νέος οὗτος τοῦ Χριστοῦ ἀθλητής Ἅγιος Ἰωάννης ἐγεννήθη ἐν τῇ κωμοπόλει Κονίτσῃ τῆς Ἠπείρου. Οἱ γονεῖς του ἦσαν Μουσουλμᾶνοι. Ὁ πατήρ του ἦτο Δερβίσης καί Σέχης τό ἀξίωμα. Γενόμενος εἰκοσαετής συνετάγη καί οὗτος εἰς τό τάγμα τῶν Δερβίσηδων καί ἀπῆλθεν εἰς Ἰωάννινα, ὅπου καί διέτριψεν ἱκανόν χρόνον.

Ἀναχωρήσας ἐκεῖθεν μετέβη εἰς τήν κωμόπολιν τῆς Αἰτωλίας Βραχώριον (νῦν Ἀγρίνιον) καί κατῴκησεν εἰς ἀρχοντικόν οἴκημα λεγόμενον Μουσελίμ Σεράϊ. Ἐνταῦθα ἐτιμήθη μεγάλως παρά τοῦ ἐξουσιάζοντος τά μέρη ἐκεῖνα Ὀθωμανοῦ, ὅστις καί ἰδικόν του Δερβίσην ὠνόμασεν αὐτόν διά τόν ἀπολαμβάνοντα μεγάλης τιμῆς παρ' αὐτοῦ πατέρα τοῦ νέου.

Διατρίβων ἐδῶ ἤρχισε νά ἀλλοιοῦται τήν καλήν ἀλλοίωσιν, νηστεύων, προσευχόμενος καί ζῶν ὡς χριστιανός, ἀπέβαλε δέ καί τό τοῦ Δερβίση ἔνδυμα καί ἐνεδύθη ἱμάτια χριστιανικά. Ἐλθών εἰς Ἰθάκην ἐβαπτίσθη καί ἔλαβε τό ὄνομα Ἰωάννης. Ἐπανελθών εἰς Αἰτωλίαν ἐνυμφεύθη εἰς τό χωρίον Μαχαλᾶς καί ἔζη βίον ἐναρέτου χριστιανοῦ προσέχων καί προφυλαττόμενος ἀπό τούς Ἀγαρηνούς καί ἀσκῶν τό ἐπάγγελμα τοῦ ἀγροφύλακος.

Κατά τό ἔτος 1813 μαθών ὁ Σέχης πατήρ του ὅτι ἐγένετο χριστιανός ὁ υἱός του ἐλυπήθη σφόδρα καί ἀπέστειλεν ἀνθρώπους νά τόν μεταπείσουν νά ἐπανέλθῃ εἰς τόν Μουσουλμανισμόν. Ἀλλ' ὁ μακάριος Ἰωάννης, ἔχων τό πῦρ τῆς ἀγάπης τοῦ Χριστοῦ ἐν τῇ καρδίᾳ του, ἀπέστρεψε τό πρόσωπον αὐτοῦ ἀπ' αὐτῶν, μένων στερεῶς καί ἀκλονήτως εἰς τήν ἁγίαν τοῦ Σωτῆρος πίστιν. Διαβληθείς παρ' Ἀγαρηνῶν εἰς τόν ἐν Βραχωρίῳ

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Μουσελίμην, συνελήφθη ὑπό τῶν στρατιωτῶν αὐτοῦ καί προσαχθείς ἐνώπιον τοῦ ἄρχοντος ἑαυτόν ὡμολόγησε μετά θάρρους ὅτι ἐγένετο χριστιανός, κηρύξας εὐτόλμως τό σωτήριον ὄνομα τοῦ Σωτῆρος καί ἀποπτύσας μέ ὅλην τήν ψυχήν του τά τῆς πλάνης τοῦ Μωαμεθανισμοῦ. Τότε ὑπεβλήθη εἰς δεινά βασανιστήρια καί σκληρούς ραβδισμούς καί ραπίσματα καί δεθείς μέ ἁλύσεις ἐρρίφθη εἰς σκοτεινήν φυλακήν, περικλεισθείς τούς πόδας εἰς τήν ποδοκάκην.

Ἐν τῇ φυλακῇ ὑπέστη τά πάνδεινα παρά τῶν ἀπίστων, ἀλλ' ἔμεινεν ἀμετακίνητος ἀπό τήν καλήν ὁμολογίαν, κηρύττων καί ὁμολογῶν εὐθαρσῶς τό Πανάγιον τοῦ Σωτῆρος ὄνομα. Ἰδών ὁ κριτής τό ἀμετάθετον τῆς γνώμης του διέταξε νά τόν ἀποκεφαλίσουν, ὅπερ καί ἐγένετο πλησίον τῆς ἐκκλησίας τοῦ Ἁγίου Δημητρίου ἐν Βραχωρίῳ ἀναφωνοῦντος τοῦ μάρτυρος «Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου». Ἀπετμήθη ἐν ἡμέρᾳ Τετάρτῃ τῇ κγ΄ (23) τοῦ μηνός Σεπτεμβρίου τοῦ σωτηρίου ἔτους 1814. Τό τίμιον αὐτοῦ σῶμα μετά τῆς κεφαλῆς ἐρρίφθησαν εἰς παρακείμενον ρύακα, ὅθεν παραλαβόντες αὐτά οἱ χριστιανοί τά ἐνεταφίασαν ἔν τινι ἀγρῷ, ὅν οἱ Βραχωρῖται ἔκτοτε τιμῶσι καί περιέπουσι.

Γενομένης μετά ταῦτα ἀνακομιδῆς μετεφέρθησαν τά τίμια αὐτοῦ λείψανα κρυφίως ἐν τῇ Ἱερᾷ Μονῇ τῆς Προυσιωτίσσης καί κατετέθησαν ἐκεῖσε ἔν τινι τόπῳ κρυπτῷ. Ἀλλ' ὁ δοξάζων τούς Ἁγίους Κύριος ἀπεκάλυψεν αὐτά εἰς τούς ἐκεῖσε ὁσίως μονάζοντας, οἵτινες καί ἀνεῦρον αὐτά ἐν ἔτει 1974 τῇ δ΄ (4) τοῦ μηνός Ἰανουρίου καί συγκομίσαντες λίαν εὐλαβῶς ἐν ὕμνοις καί ᾠδαῖς πνευματικαῖς κατέθεντο ἐν τῷ Καθολικῷ Ναῷ τῆς ἐν λόγῳ Μονῆς ἁγιάζοντα τούς εὐλαβῶς προσερχομένους αὐτῷ.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.**
**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Προυσιωτίσσης ἡ Μάνδρα σκίρτα καί χόρευε, κατέχουσα ἐν κόλποις, ὡς οὐράνιον πλοῦτον, τά Λείψανα τά θεῖα τοῦ εὐκλεοῦς, Ἰωάννου τοῦ Μάρτυρος, καί τῆς εὑρέσεως τούτων τήν ἱεράν, μνήμην σήμερον ἑόρτασον.

Χαρᾶς ἁγίας ἐπλήσθη τῶν Μοναστῶν ὁ χορός, ἡνίκα Ἰωάννη, Νεομάρτυς Κυρίου, ἀνεῦρέ σου τά Λείψανα τά σεπτά, εὐδοκίᾳ τοῦ κρείττονος, καί ὁμοφώνως ἐδόξασε τόν Χριστόν, τόν λαμπρῶς σε θαυμαστώσαντα.

Ἡ εὐωδία τῶν θείων ὀστῶν σου Ἅγιε, ἡμῶν καθαγιάζει, καί ψυχάς καί καρδίας, παμμάκαρ Ἰωάννη· οἷς εὐλαβῶς, παρεστῶτες βοῶμέν σοι· Μή διαλίπῃς πρεσβεύων ὑπέρ ἡμῶν, τῶν τιμώντων σου τήν ἄθλησιν.

Ἔτεσι πλείστοις ἐτέλουν ἅπασιν ἄγνωστα, τά Λείψανά σου Μάρτυς, ἀλλά νεύσει σου θείᾳ, γνωσθέντα ἡμῖν ἄρτι ἁγιασμόν, Ἰωάννη παρέχουσι, τοῖς προσιοῦσιν ἐν πίστει εἰλικρινεῖ, καί γεραίρουσι τούς ἄθλους σου.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Δόξα.** Ἦχος δ΄.

Ἐκ νυκτός ἀγνωσίας, ὡς πάμφωτος ἀστήρ ἀνέτειλας ἡμῖν, Ἰωάννη μακάριε· καί μαρτυρικοῖς ἀγῶσι, τῷ νοητῷ Ἡλίῳ Χριστῷ, νικηφόρος παρέστης, Μαρτύρων δήμοις ἀριθμούμενος· νῦν δέ ἡμῖν ἀπεκάλυψας, τά θεῖά σου Λείψανα, τά πάλαι κεκρυμμένα, τήν δοθεῖσάν σοι χάριν ἐκφαίνοντα, καί τῆς κεκρυμμένης ἐν Χριστῷ ζωῆς, προζωγραφοῦντα τήν εὐκληρίαν· ὧν τήν εὕρεσιν γεραίνοντες, δοξάζομεν τόν σέ στεφνώσαντα.

**Καί νῦν.** Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τούς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἀπόστιχα.
Ἦχος δ΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὤφθη ἡ σή σορός, ἡμῖν ὡς μυροθήκη, καί πᾶσιν ἀποπνέει, θεόφρον Ἰωάννη, ὀσμήν τήν ὑπέρ ἔννοιαν.

Στίχ. **Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Φόβῳ τῶν διωκτῶν, ὦ Ἰωάννη πάλαι, τό σκῆνός σου ἐκρύβη, νῦν δέ ἡμῖν ἐφάνη, πηγάζον χάριν ἄφθονον.

Στίχ. **Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...**

Χαίρει πνευματικῶς, Μονή Προυσιωτίσσης, πλουτοῦσα Ἰωάννη, τά θεῖα Λείψανά σου, ὡς δῶρον θεοδώρητον.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Δόξα.** Τριαδικόν.

Τρίφωτε Παντουργέ, Πάτερ Υἱέ καί Πνεῦμα, ἡ μία βασιλεία, λιταῖς τοῦ Ἰωάννου, ἐλέησον κόσμον σου.

**Καί νῦν.** Θεοτοκίον

Ἔλαμψας ἐξ Ἁγνῆς, Παρθένου Ζωοδότα σαρκί, ὡς ἠβουλήθης, καί ρείθροις Ἰορδάνου, ἔρχῃ βαπτισθησόμενος.

**Νῦν απολύεις,** τό Τρισάγιον, τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καί Ἀπόλυσις

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

**Ἦχος δ΄. Ὡς γενναῖος ἐν Μάρτυσι.**

Ὡς χρυσίον πολύτιμον, τά σά τίμια Λείψανα, Ἰωάννη ἔνδοξε ἡμῖν δέδωκας· ταῦτα γάρ πάλαι κρυπτόμενα, ἡμῖν ἐφανέρωσας, καί χαρᾶς πνευματικῆς, τάς ψυχάς ἡμῶν ἔπλησας, ὧν τήν εὕρεσιν, ἑορτάζομεν πόθῳ εὐφημοῦντες, τάς λαμπράς σου ἀριστείας, καί τόν Χριστόν μεγαλύνομεν.

Τῶν ἁγίων Λειψάνων σου, ἀνυμνοῦντες τήν εὕρεσιν, ἑορτήν χαρμόσυνον συγκροτοῦμεν σοι· ὅτι αὐτά ἡμῖν Ἅγιε, δοθῆναι ηὐδόκησας, οἷα δόσιν ἀγαθήν, τῆς δοθείσης σοι χάριτος, πᾶσι νέμοντα, καί ψυ-

χῶν καί σωμάτων σωτηρίαν, Νεομάρτυς Ἰωάννη, τοῖς εὐσεβῶς προσπελάζουσιν.

Ως ἀνεῦρον τήν κέραμον, τήν σήν κλῆσιν ἀνέμαθον, καί τά σά μυρίπνοα ἔνδον κείμενα, Λείψανα Μάρτυς συστείλαντες, πιστῶς μετεκόμισαν, εἰς τόν ἅγιον Ναόν, Ἱερεῖς οἱ θεόφρονες, καί Μονάζοντες, ὧν προῆρχεν ὁ θεῖος Ἱεράρχης, ἀνυμνοῦντες Ἰωάννη, τάς εὐκλεεῖς ἀριστείας σου.

Ως τόν λίθον ἀνείλοντο, ὀσμῆς θείας ἐπλήσθησαν, οἱ τῇ σῇ εὑρέσει διακονήσαντες καί τήν σορόν τῶν Λειψάνων σου, ἐκεῖθεν κομίσαντες, ἔνθα ἔτεσι πολλοῖς διετέλουν ἀγνώριστα, πᾶσι προὔθηκαν, ὡς πηγήν ἁγιάσματος ἀΰλου, Ἰωάννη Νεομάρτυς, ᾀσματικῶς εὐφημοῦντές σε.

Εμφανῶς καταβέβληκας τόν ἐχθρόν τῇ ἀθλήσει σου, καί Μαρτύρων ἔτυχες τῆς λαμπρότητος, ὡς Ἀθλητής Χριστοῦ ἔνθεος, τό θεῖον δέ σῶμά σου, φόβῳ τῶν Ἀγαρηνῶν, κρυβέν ἄγνωστον ἔμενε, πλείστοις ἔτεσι, καί φανέν νῦν ἐγνώσθη Ἰωάννη, ἁγιάζον καί εὐφραῖνον, τούς εὐλαβῶς σε γεραίροντας.

Τοῖς σπαργάνοις σου Κόνιτσα, ἡ πατρίς σου σεμνύνεται, καί τῆς σῆς ἀθλήσεως τό Βραχώριον, ταῖς ἀριστείαις ἀγάλλεται, Μονή δέ ἡ πάνσεπτος, ἐξαιρέτως σε τιμᾷ, τήν σορόν τῶν Λειψάνων σου, ὡς κατέχουσα, ἐν ᾗ ταῦτα ἐτέλου κεκρυμμένα, τῆς Ἁγνῆς Προυσιωτίσσης, καί χαρμοσύνως γεραίρει σε.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Δόξα.** ῏Ηχος πλ.β΄.

Σήμερον ἐν τῇ εὑρέσει τῶν Λειψάνων σου, τήν τοῦ Προφητάνακτος Δαβίδ ρῆσιν, πεπληρωμένην ὁρῶμεν, Ἰωάννη Νεομάρτυς· τά γάρ σεπτά σου ὀστέα, ἀσινῆ ὁ Κύριος φυλάξας, ἡμῖν ἀπεκάλυψε, τῆς θείας χρηστότητος, ἐκφαίνοντα τόν πλοῦτον. Διό καί ἡμεῖς ἑορτάζοντες, συμφώνως βοῶμέν σοι· Χαίροις ὁ τῶν Μαρτύρων ὑπελθών τό σκάμμα, καί τοῦ ἀρχαίου ἐχθροῦ καταπαλαίσας τό κράτος· χαίροις ὁ διά τῶν σῶν ἁγίων Λειψάνων, ἁγιασμόν καί χάριν καί ἔλεος παρέχων, ὡς τῆς χάριτος ἐπώνυμος, τοῖς πιστῶς αὐτοῖς προσιοῦσι· χαίροις Κονίτσης βλαστός, Βραχωρίου κλέος, καί Μονῆς Προυσιωτίσσης θεῖον ἀγλάϊσμα. Πρέσβευε Χριστῷ τῷ Σωτῆρι Ἅγιε, σῴζεσθαι τούς σέ μακαρίζοντας.

**Καί νῦν.** Ὁ αὐτός. Προεόρτιον.

Ἔρχεται πρός Ἰορδάνην, Χριστός ἡ ἀλήθεια, τοῦ βαπτισθῆναι ὑπό Ἰωάννου, καί φησί πρός αὐτόν· Ἐγώ χρείαν ἔχω ὑπό σοῦ βαπτισθῆναι, καί σύ ἔρχῃ πρός με; Οὐ τολμῶ ὁ χόρτος προσψαῦσαι τῷ πυρί· σύ με ἁγίασον Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου.

Εἴσοδος, **Φῶς ἱλαρόν,** τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.

**Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα.**

(Κεφ. μγ΄ 9 - 14)

Τάδε λέγει Κύριος· Πάντα τά ἔθνη συνήχθησαν ἅμα καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; Ἤ τά ἐξ ἀρχῆς τίς ἀκουστά ποιήσει ἡμῖν; Ἀγαγέτω-

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

σαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καί ἐγώ μάρτυς Κύριος ὁ Θεός, καί ὁ Παῖς, ὅν ἐξελεξάμην· ἵνα γνῶτε, καί πιστεύσητε, καί συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καί μετ' ἐμέ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός καί οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγώ ἀνήγγειλα καί ἔσωσα, ὠνείδισα καί οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες καί ἐγώ Κύριος ὁ Θεός· ὅτι ἀρχῆς ἐγώ εἰμι καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καί τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.

**(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καί κρατήσουσι λαῶν καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν συνήσουσιν ἀλήθειαν καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.

**(Κεφ. ε΄ 15 - 23 στ΄ 1 - 3)**

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς καί τῷ

Δημοτική Κεντρική Βιβλιοθήκη Κόνιτσας

βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον αὐτοῦ καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην· καί περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν ἐπί σκοπόν ἁλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοί δέ συγκλύσουσιν ἀποτόμως. Αντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ἡμῖν καί ἡ δυναστεία παρά Ὑψίστου.

Δημόσια Κεντρική Βιβλιοθήκη Κοζάνης

## Εἰς τήν Λιτήν, Ἰδιόμελα.

### Ἦχος α΄.

Εὐφράνθημεν μάλα, τήν ἐν Θεῷ εὐφροσύνην, ὅτε τά θεῖά σου Λείψανα, ὡς ἄνθη εὐωδέστατα, ἀνεφάνησαν ἡμῖν, Ἰωάννη παμμάκαρ· ἡ γάρ χάρις τοῦ Πνεύματος, ἡ ἐν αὐτοῖς σκηνοῦσα, ἐνεργεῖ τά παράδοξα δι' αὐτῶν ὡς οἶδεν· ὀσμήν γάρ θείαν ἐπαφιᾶσι, παθῶν δυσωδίαν λύουσι, καί τά ἄνω ποθεῖν καί ζητεῖν, τούς προσιόντας διεγείρουσιν. Ὅθεν τούτων τήν εὕρεσιν ὕμνοις καί ᾠδαῖς γεραίροντες, τῶν σῶν ἀντιλήψεων, ἐκδεχόμεθα τήν χάριν· ἥν ἀεί ἡμῖν δίδου, ταῖς πρός Θεόν πρεσβείαις σου.

### Ἦχος β΄.

Τῶν διωκτῶν τῷ φόβῳ ἀποκρυβέν τό ἀθλητικόν σου σῶμα, ἄρτι ἡμῖν ἐφανέρωσας, Νεομάρτυς Ἰωάννη· οὐκ ἔδει γάρ τοῦτο καλύπτεσθαι, τῷ μοδίῳ τῆς σιγῆς, ἐπί πλείονα χρόνον ἔτι, ἀλλά θείᾳ νεύσει φανέν, ὡς φῶς ἡμῖν ἔλαμψε, καί ὡς λύχνος φαεινός ἐπί τήν λυχνίαν ἐτέθη, ἵνα λάμπῃ πᾶσι, τοῖς βουλομένοις Χριστῷ ἀκολουθῆσαι· ἡ γάρ τούτων φανέρωσις, ἔκφανσις ὤφθη ἡμῖν, τῶν αἰωνίων ἀγαθῶν, καί τῆς μελλούσης λαμπρότητος. Ἀλλ' ὦ Μάρτυς χαριτώνυμε, ὡς ταύτης μέτοχος, παθῶν σκότους λύτρωσαι, τούς πίστει προσπίπτοντας, τοῖς τιμίοις Λειψάνοις σου.

### Ἦχος γ΄.

Ὡς κιβωτός ἁγιάσματος, ἐκ τῆς κρύπτης ᾗ κατέκειτο, χερσίν ὁσίαις μετεκομίσθη, τό θεῖόν σου σκήνωμα, Ἰωάννη μακάριε· καί ὡς ἄλλο ἱλαστήριον, θείᾳ ῥοπῇ κατασκιαζόμενον ἄνωθεν, ἐν Ναῷ ἁγίῳ προτέθειται, παρέχον πᾶσι τά πρόσφορα, μαρτυρικῇ σου χάριτι· ὡς γάρ Χριστόν δοξάσας, πλουσίας δόξης ἠξίωσαι, παρ' αὐτοῦ ἔνδοξε. Διό Προυσιωτίσσης ἡ Μονή, περικυκλοῦσα τήν σορόν σου, λαμπροφανῶς ἑορτάζει ἐν τῇ εὑρέσει τῶν Λειψάνων σου, ἵνα λάβῃ παρά Χριστοῦ, χάριν καί εὐλογίαν, καί πταισμάτων ἄφεσιν.

### Ἦχος δ΄.

Τοῖς μαρτυρικοῖς σου πόνοις, καθαγιασθέν τό θεῖον σκῆνός σου, οἰκητήριον ὤφθη τῆς θείας χάριτος, καί ἁγιασμοῦ μυροθήκη, Ἰωάννη Νεομάρτυς

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

πανεύφημε. Ὅθεν Μοναστῶν αἱ χορεῖαι, ἐν τῇ τούτου εὑρέσει χαίρουσιν ὅτι ηὐδόκησας αὐτοῖς, τοῦτο ἀποκαλυφθῆναι, ἀποκαλύπτον πᾶσι, τήν μαρτυρικήν σου εὐκληρίαν, καί οὐρανίου δόξης τήν ἔλλαμψιν, ἧς ὤφθης κληρονόμος· ἧς καί ἡμεῖς ἀξιωθείημεν, ταῖς πρός Χριστόν πρεσβείαις σου.

**Δόξα. Ὁ αὐτός.**

Ἀθλητική πανδαισία σήμερον προτίθεται, συγκαλοῦσα πάντας, πρός εὐφροσύνην μυστικήν, καί ψυχῶν σωτηρίαν· Ἰωάννης γάρ ὁ χαριτώνυμος, ὁ τῆς Κονίτσης περιφανής βλαστός, ἐν τῇ εὐαγεῖ Προυσιωτίσσης Μονῇ, τά θεῖα αὐτοῦ Λείψανα, τά πάλαι κεκρυμμένα, θαυμαστῶς ἀποκαλύπτει. Προσέλθωμεν οὖν ἅπαντες, καί προσπέσωμεν αὐτοῖς, ἵνα λάβωμεν ψυχῶν θεραπείαν, καί παντός πόνου λύτρωσιν, βοῶντες Χριστῷ· Θαυμαστός εἶ Κύριε, ὁ ἐν τοῖς Ἁγίοις σου δοξαζόμενος, καί παρέχων δι' αὐτῶν, ἡμῖν τό θεῖον ἔλεος.

**Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.**

Ὢ τοῦ παραδόξου θαύματος! Ὁ ἐν Πνεύματι Ἁγίῳ βαπτίζων καί πυρί, ἐν Ἰορδάνῃ ἔρχεται, βαπτισθῆναι ὑπό Ἰωάννου· Θεός οὐ γυμνός, οὐδέ ἄνθρωπος ψιλός, ἀλλ' ἐν δυσί ταῖς φύσεσιν, εἷς ὁ αὐτός Υἱός μονογενής· ζητῶν μέν τό Βάπτισμα, ὡς ἄνθρωπος ἐκ θνητοῦ, αἴρων δέ ὡς Θεός, τήν ἁμαρτίαν τοῦ κόσμου, καί παρέχων πᾶσι, τό μέγα ἔλεος.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Εἰς τόν Στίχον, Στιχηρά Προσόμοια.**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Ὅτε τήν σεπτήν σου κεφαλήν, χαίρων ὑπ' ἀνόμων ἐτμήθης, ὑπέρ τῆς δόξης Χριστοῦ, τότε σου τό ἅγιον Λείψανον Ἅγιε, εὐσεβῶς μετακόμισαν, τῆς Προυσιωτίσσης, τῇ Μονῇ ἐκφεύγοντες, τῶν διωκτῶν τήν βουλήν· ἔνθα ἐν ἐτῶν περιόδοις Ἰωάννη ἄγνωστον μεῖναν, ἄρτι ἡμῖν Μάρτυς πεφανέρωται.

**Στίχ. Θαυμαστός ὁ Θεός τοῖς Ἁγίοις αὐτοῦ.**

Ὅτε τοῖς ὁσίοις Μοναστοῖς, Μάρτυς Ἰωάννη ἐγνώσθη, τό θεῖον σῶμά σου, τότε μετά πίστεως τοῦτο μετήνεγκαν, ἀνυμνοῦντες τούς ἄθλους σου, πρός ναόν τόν θεῖον, αἶνον χαριστήριον, Χριστῷ προσάδοντες· ᾧ πανευλαβῶς παρεστῶτες, ἐξ αὐτοῦ καρπούμεθα ῥῶσιν, καί πλημμελημάτων ἀπολύτρωσιν.

**Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...**

Αἴτει τῇ πατρίδι σου σοφέ, καί ἐν ᾗ ἠγώνισαι πόλει, εἰρήνην ἄνωθεν, τῆς Προυσιωτίσσης δέ, τῇ περιβλέπτῳ Μονῇ, ἐν ᾗ ἄγνωστα ἔκειντο, χρόνοις ἐπί πλείστοις, τά σεπτά σου Λείψανα, τούς θεϊκούς οἰκτιρμούς, πᾶσι δέ τοῖς μέλπουσι τούτων, Μάρτυς τήν φανέρωσιν λύσιν, πάσης περιστάσεως καί ἴασιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Δόξα. Ἦχος πλ.δ΄.**

Ὡς τῶν Μαρτύρων κοινωνός, τά σεπτά σου ὀστέα, ὡς τῶν μαρτυρικῶν σου ἄθλων τεκμήρια, δέδωκας ἡμῖν, Ἰωάννη Νεομάρτυς πανθαύμαστε· οὐκ ἠνέσχου γάρ Ἅγιε, ἐπί πλεῖον κρύπτεσθαι, ἀλλ' ἐμφανῆ πεποίηκας αὐτά, οἷς οἶδας τρόποις, ἵνα πληρωθῇ ἡ Γραφή ἡ λέγουσα· Ἰησοῦς Χριστός χθές καί σήμερον, ὁ αυτός καί εἰς τούς αἰῶνας. Αὐτόν ἱκέτευε δεόμεθα, διδόναι ἡμῖν, παθῶν ἀπαλλαγήν, καί τῶν πταισμάτων συγχώρησιν.

**Καί νῦν. Ὁ αυτός. Προεόρτιον.**

Ἰωάννη Βαπτιστά, ὁ ἐν μήτρᾳ γνωρίσας με τόν ἀμνόν, ἐν ποταμῷ μοι διακόνησον, μετ' Ἀγγέλων μοι λειτούργησον· ἐκτείνας ἅψαι τῇ παλάμῃ τῆς κορυφῆς μου τῆς ἀχράντου· καί ὅταν ἴδῃς τά ὄρη τρέμοντα, καί τόν Ἰορδάνην ἐπαναστραφέντα, σύν τούτοις βόησον· Ὁ σαρκωθείς ἐκ Παρθένου, εἰς ἡμῶν σωτηρίαν, Κύριε δόξα σου.

**Νῦν ἀπολύεις, τό Τρισάγιον, καί τά Ἀπολυτίκια.**
**Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Μονή Προυσιωτίσσης τῇ εὑρέσει ἀγάλλεται, τῶν σεπτῶν σου Λειψάνων Ἰωάννη μακάριε, καί ταῦτα προσκυνοῦσα εὐλαβῶς, καρποῦται πᾶσαν δόσιν ἀγαθήν· ἡ σκηνοῦσα γάρ ἐν τούτοις χάρις Χριστοῦ, πάντας βοᾶν προτρέπεται· Δόξα τῷ δεδωκότι σοι ἰσχύν,δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διά σοῦ, πᾶσιν ἰάματα.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**῞Ετερον. ῏Ηχος δ΄. Ταχύ προκατάλαβε.**

Τά θεῖά σου Λείψανα, ὡς θησαυρόν ἀληθῆ, ἡμῖν ἐφανέρωσας, τῆς ἐκ Χριστοῦ τοῦ Θεοῦ, δοθείσης σοι χάριτος. ῞Οθεν σε Νεομάρτυς, Ἰωάννη τιμῶμεν, πόθῳ ὑμνολογοῦντες, τήν ἀνεύρεσιν τούτων. Ἀλλ' αἴτει ἡμῖν πάντοτε, πταισμάτων τήν ἄφεσιν.

**Προεόρτιον. ῏Ηχος ὁ αὐτός. Κατεπλάγη Ἰωσήφ.**

Ετοιμάζου Ζαβουλών, καί εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τόν Δεσπότην. Ἀγάλλου ὁ Ἀδάμ σύν τῇ Προμήτορι· μή κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τό πρίν· καί γάρ γυμνούς ἰδών ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τήν πρώτην στολήν. Χριστός ἐφάνη, τήν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.

**Ἀπόλυσις**

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετά τήν α΄. Στιχολογίαν, Κάθισμα.**
**῏Ηχος α΄. Τόν τάφον σου Σωτήρ.**

Ως κρίνα νοητά, τῆς ζωῆς τῆς ἀλήκτου, ἐφάνησαν ἡμῖν, τά σεπτά σου ὀστέα· διό τήν τούτων εὕρεσιν, Ἰωάννη γεραίροντες, μεγαλύνομεν, τόν σέ δοξάσαντα Λόγον· ὅν ἱκέτευε, παθῶν ἡμᾶς ἀλογίας, ἑκάστοτε ρύεσθαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### Ὅμοιον. Προεόρτιον.

Προέρχεται σαρκί, Ἰορδάνου τοῖς ρείθροις, ὁ πάντων Ποιητής, βαπτισθῆναι θελήσας· διό προεορτάσωμεν, τήν αὐτοῦ ἐπιφάνειαν, πίστει κράζοντες· Ρῦσαι ἡμᾶς Ζωοδότα, ὡς φιλάνθρωπος, τῆς τῶν παθῶν τυραννίδος, καί πάσης φαυλότητος.

### Μετά τήν β΄. Στιχολογίαν, Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Κρύπτη ἔφερε, τά Λείψανά σου πάλαι ἄδηλα, ἡμῖν τελοῦντα, ἐν Μονῇ Προυσιωτίσσης μακάριε, ἅπερ ἡμῖν ἄρτι δῆλα πεποίηκας, ἁγιασμόν Ἰωάννη βλυστάνοντα. Μάρτυς ἔνδοξε, Χριστόν τόν Θεόν ἱκέτευε, δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

### Ὅμοιον. Προεόρτιον.

Σάρξ γεγένηται, ἀνερμηνεύτως, καί προέρχεται ἐν Ἰορδάνου, βαπτισθῆναι τοῖς ρείθροις ὁ Κύριος, ἀποκαθαίρων ἡμῶν τό παράπτωμα, καί κατακλύζων τήν πλάνην τοῦ ὄφεως· ᾧ βοήσωμεν· Δοξάζομεν Ὑπεράγαθε, τόν πλοῦτον τῆς ἀρρήτου σου κενώσεως.

### Μετά τόν Πολυέλειον, Κάθισμα. Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Ἀθλήσεως σκάμμασι, καταβαλών τόν ἐχθρόν, εὐρέσει τῶν θείων σου, καί πανευόσμων ὀστῶν, εὐφραίνεις μακάριε, πάντων τάς διανοίας, καί πληροῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

εὐφροσύνης, πᾶσαν τήν Ἐκκλησίαν, Νεομάρτυς Κυρίου, τιμῶσαν Ἰωάννη, τούς θείους ἀγῶνάς σου.

### Ὅμοιον. Προεόρτιον.

Τό βάπτισμα δέξασθαι, τῇ τοῦ Προδρόμου χειρί, Χριστός νῦν ἐπείγεται, τόν μολυσμόν τοῦ Ἀδάμ, καθαίρων ὡς εὔσπλαγχνος· δεῦτε ἐν εὐλαβείᾳ, ὑπαντήσωμεν τούτῳ, ᾄδοντες κατά χρέος, προεόρτιον αἶνον, τῷ μέλλοντι ἐπιβῆναι, Ἰορδάνου τοῖς νάμασι.

**Τό α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου καί τό Προκείμενον**

Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ...

**Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...**

**Εὐαγγέλιον τοῦ ὄρθρου τοῦ Ἁγίου Γεωργίου.**

**Ὁ Ν΄ Δόξα.** Ταῖς τοῦ Ἀθλοφόρου...

**Καί νῦν.** Ταῖς τῆς Θεοτόκου...

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...**

Τοῦ μαρτυρίου τοῖς πόνοις, λαμπρυνθέν σου τό σῶμα, ὡς χρυσός πολύτιμος ἡμῖν πεφανέρωται, ἐν ἀφανείᾳ πρῴην κείμενον, Ἀγαρηνῶν τῷ φόβῳ. Ὅθεν ἑορτήν πνευματικήν, ἐν τῇ τούτου εὑρέσει συστησάμενοι, αἶνον Χριστῷ προσφέρομεν, τῷ τήν σήν ἄθλησιν δοξάσαντι,καί τά τίμια ὀστᾶ σου, ἀσινῆ φυλάξαντι. Αὐτόν ἱκέτευε, Νεομάρτυς Ἰωάννη, σωθῆναι τάς ψυχάς ἡμῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Ὁ Ἱερεύς. **Σῶσον ὁ Θεός τόν λαόν σου...**

Εἶτα οἱ Κανόνες, ὁ Προεόρτιος ἐκ τοῦ Μηναίου καί τοῦ Ἁγίου ὁ ἑξῆς, φέρων τήνδε ἀκροστιχίδα:

**«Τήν σήν Ἀθλητά εὕρεσιν μέλπω Γερασίμου».**

Ὠδή α΄. Ἦχος α΄. Ὠδήν ἐπινίκιον.

Ταῖς θείαις λαμπρότησι, Μάρτυς ἐκλάμπων, φῶς θεῖόν μοι αἴτησαι, Ἰωάννη ἔνδοξε, ὅπως ὑμνήσω φαιδρῶς, τῶν σῶν Λειψάνων τῶν σεπτῶν, τήν ἀνακάλυψιν.

Ηνέχθη τό σῶμά σου, Προυσιωτίσσης, Μονῇ μετά τέλος σου, Μάρτυς τό ἅγιον, καί ἐγκρυβέν ἐν αὐτῇ νῦν πεφανέρωται ἡμῖν, καθαγιάζον ἡμᾶς.

Νεκρώσας τόν δόλιον, τῇ σῇ ἀθλήσει, ζωήν τήν αἰώνιον, πᾶσιν ἐκφαίνοντα, νῦν ἀπεκάλυψας ἡμῖν, τά Λείψανά σου τά σεπτά, ὦ Ἰωάννη κλεινέ.

Θεοτοκίον.

Σαρκός ὁμοιώματι, ἡμῖν ἐφάνη, ὁ Λόγος ὁ σύνθρονος, Πατρί καί Πνεύματι, ἐκ τῆς γαστρός σου Ἁγνή, ἄτρεπτος μείνας ὥσπερ ἦν, πρό τῆς σαρκώσεως.

Ὠδή γ΄. Στερεωθήτω ἡ καρδία μου.

Η τῶν Λειψάνων σου φανέρωσις, ἑορτῆς, ἡμῖν ὤφθη πρόξενος, ἐν ᾗ τιμῶμεν εὐλαβῶς, Ἰωάννη τούς ἄθλους σου, καί ἐν φόβῳ παριστάμεθα, τῇ θήκῃ σου Ἅγιε.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Νομίμως ἤθλησας μακάριε, καί τήν ἀνομίαν κατῄσχυνας· ἔνθεν δεδόξασται λαμπρῶς, Παρακλήτου τῇ χάριτι, Ἰωάννη τό σόν Λείψανον, ὅ πίστει σεβόμεθα.

Ἀποκρυβέν πάλαι τό σῶμά σου, ἤδη πεφανέρωται Ἅγιε, ὅ ἐκ τῆς κρύπτης Μονασταί, εὐλαβῶς ἐκκομίσαντες, τῷ Ναῷ πᾶσι προτέθηκαν, ὡς θεῖον ἁγίασμα.

**Θεοτοκίον.**

Θεόν ἀφράστως σωματώσασα, καί Παρθένος ἄμωμος μείνασα, μετά τόν τόκον τόν φρικτόν, Θεοτόκε Πανάχραντε, εὐλογίας πᾶσιν ἤνοιξας, πηγάς τῇ κυήσει σου.

**Κάθισμα. Ἦχος πλ. α΄. Τόν Συνάναρχον Λόγον.**

Φανερῶς ἐκνικήσας ἐχθροῦ τάς φάλαγγας, ἀφανῆ ἐπί πλείστοις ἐτέλουν ἔτεσιν, ὡς τῷ φόβῳ τῶν ἐχθρῶν κρυβέντα Ἅγιε, Προυσιωτίσσης τῇ Μονῇ, τά Λείψανά σου τά σεπτά, ἅ ἤδη φανερωθέντα, τῇ νεύσει σου Ἰωάννη, χαρᾶς πληροῦσι τάς ψυχάς ἡμῶν.

**Ὅμοιον. Προεόρτιον.**

Ἰορδάνου τά ρεῖθρα οἷάπερ ἄνθρωπος περιβαλέσθαι ὁ Λόγος ὁ Ὑπερούσιος, διά σπλάγχνα οἰκτιρμῶν ἤδη προέρχεται· ὦ Ἰωάννη Βαπτιστά, διακόνησον πιστῶς, τῷ μέλοντι ἐκκαθᾶραι, τήν φύσιν τήν τῶν ἀνθρώπων, ἐκ τῆς ἀρχαίας παραβάσεως.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

## ᾨδή δ΄. Ἐν Πνεύματι προβλέπων.

Λαμπρότητος τῆς ἄνω θεόφρον κοινωνῶν, ὡς Ἀθλητής ἀήττητος Χριστοῦ τοῦ Λυτρωτοῦ, λαμπράν πανήγυριν τοῖς κάτω συναγείρεις, τῇ ἀνευρέσει τῶν παντίμων σου Λειψάνων, ἐν ᾗ συνελθόντες τιμῶμέν σε.

Ἡγίασας τάς χεῖρας ἀφῇ τῇ εὐλαβεῖ, τῶν Μοναστῶν μακάριε, τῶν θείων σου ὀστῶν, τῶν συστειλάντων ἐκ τῆς κρύπτης ταῦτα Μάρτυς· ὧν τῇ ἁγίᾳ ἀναδείξει ἐκπληρώθη, ρῆσις τοῦ Δαβίδ ἁγιόφθογγος.

Τῶν θείων σου Λειψάνων τῇ ἀνακομιδῇ, Προυσιωτίσσης χαίρει Μονή ἡ εὐαγής, ὧν τῇ εὑρέσει ἑορτήν ἄγει ἁγίαν, ταῦτα προβάλλουσα πιστοῖς εἰς σωτηρίαν, Μάρτυς Ἰωάννη πανεύφημε.

### Θεοτοκίον.

Ἀσπόρως συλλαβοῦσα τόν πάντων Ποιητήν, ἀφθόρως τοῦτον τέτοκας καί ἔμεινας Ἁγνή· ὡς ὑπέρ νοῦν τό τελεσθέν ἐν σοί Παρθένε, πᾶσαν διάνοιαν καί ἀκοήν ἐκπλῆττον· ὅθεν ἀνυμνοῦμεν τήν δόξαν σου.

## ᾨδή ε΄. Τήν σήν εἰρήνη.

Εὐφράνθησαν μακάριε, χοροί Μοναστῶν, ἡνίκα ἀνεῦρον, τά θεῖά σου Λείψανα, καί τῷ Θεῷ δόξαν ἀνέπεμψαν, τῷ πλουσίαν χάριν, διδόντι τοῖς Ἁγίοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Υμνοῦντές σου τήν ἄθλησιν, μετῆξαν πιστῶς, τῷ τῆς Μονῆς τεμένει, τά θεῖά σου Λείψανα, τοῦ Ποιμενάρχου προεξάρχοντος, τελετῆς τῆς θείας παμμάκαρ Ἰωάννη.

Ρωσθείς Ἁγίῳ Πνεύματι, καθεῖλες ἐχθροῦ, πόνοις μαρτυρίου, τήν ἔπαρσιν Ἅγιε, καί χάριν εἴληφας οὐράνιον, ἥν ἡμῖν παρέχεις, διά τῶν σῶν ὀστέων.

**Θεοτοκίον.**

Εκύησας Πανάχραντε, τόν πάντων Θεόν, σαρκί ἑνωθέντα, ἐκ σοῦ καθ' ὑπόστασιν, καί τήν κατάραν ἐξηφάνισας, καί ἔβλυσας πᾶσι, πηγήν ἀθανασίας.

**Ὠδή στ΄. Τόν Προφήτην Ἰωνᾶν.**

Σκήνος σου τό ἱερόν, τῇ ἀθλήσει λαμπρυνθέν, ὥσπερ ἄστρον φαεινόν, ἀνατέταλκεν ἡμῖν, ἐκ κόλπων γῆς, πάλαι τῷ φθόνῳ ἐχθρῶν κρυπτόμενον.

Ιδού ὤφθησαν ἡμῖν, ὡς ἁγίασμα σεπτόν, Ἰωάννου τοῦ κλεινοῦ, Νεομάρτυρος Χριστοῦ, τά Λείψανα· δεῦτε οὖν πάντες, τούτοις προσπέσωμεν.

Νέος ὤφθης Ἀθλητής, τοῦ Παντάνακτος Χριστοῦ, νέαν ἤγειρας ἡμῖν, ἑορτήν πνευματικήν, πανεύφημε, τῇ ἀναδείξει, τοῦ θείου σκήνους σου.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### Θεοτοκίον.

Μητροπάρθενε Ἁγνή, ἡ τεκοῦσα ἐν σαρκί, τόν τῶν ὅλων Ποιητήν, ἀναπλάττοντα ἡμᾶς, τοῦ ἄγους με, τῆς ἁμαρτίας, πλῦνον καί σῶσόν με.

### Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῶν σεπτῶν λειψάνων σου τῇ φανερώσει, Ἰωάννη ἔνδοξε, χάριν καρπούμεθα πολλήν, καί μετά πόθου βοῶμέν σοι· Χαίροις Μαρτύρων Χριστοῦ ἰσοστάσιε.

### Ὁ Οἶκος.

Ὡς ἄνθη ὤφθησαν ἡμῖν, καί κρίνα πενευώδη, ἀρωματίζοντα ὀσμήν, ζωῆς τῆς αἰωνίου, τά Λείψανά σου τά σεπτά παμμάκρ Ἰωάννη, Νεομάρτυς τοῦ Χριστοῦ μακάριε· ἀθλήσας γάρ καρτερικῶς, ἀντικατέστης τῷ ἐχθρῷ, τελέσας τόν ἀγῶνα· ἔνθεν τό ἀθλητικόν σου σῶμα, ἐκ Βραχωρίου λάθρᾳ μετενεχθέν τῷ φόβῳ τῶν τυράννων, ταφῇ ὁσίᾳ παρεδόθη, καί κέκρυπται χρόνοις πολλοῖς, τῇ τῆς Προυσιωτίσσης ἁγίᾳ Μάνδρᾳ· ὅπερ νῦν φανερωθέν, νεύσει τῇ σῇ, χαρᾶς πολλῆς ἡμᾶς ἔπλησε, καί καινισμόν μυστικόν παρέχει πᾶσι, τοῖς εὐλαβῶς προσιοῦσι, καί φόβῳ ἁπτομένοις, καί μετά πόθου βοῶσί σοι· Χαίροις Μαρτύρων Χριστοῦ ἰσοστάσιε.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

## Συναξάριον.

Τῇ δ΄ τοῦ αὐτοῦ μηνός, Μνήμην ἐπιτελοῦμεν τῆς εὑρέσεως τῶν Ἁγίων Λειψάνων τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Ἰωάννου τοῦ ἐξ Ὀθωμανῶν, ἐκ Κονίτσης καταγομένου καί ἐν Βραχωρίῳ ἀθλήσαντος ἐν ἔτει 1814. Ταῦτα δέ εὑρέθησαν τῇ δ΄ Ἰανουαρίου τοῦ σωτηρίου ἔτους 1974 ἐν τῇ Ἱερᾷ Μονῇ τῆς Προυσιωτίσσης, ἔνθα καί ἐναπόκεινται.

### Στίχοι

**Τῶν ἀθλητικῶν ὀστῶν σου τῇ εὑρέσει**
**Ἰωάννη γήθεται πιστῶν χορεία.**
**Τετάρτῃ Ἰωάννοιο γῆθεν φαάνθησαν ὀστέα.**

Οὗτος ὁ νέος τοῦ Χριστοῦ Ἀθλητής Ἰωάννης ἦν ἐκ Κονίτσης, πόλεως Ἠπείρου, ἐξ Ὀθωμανῶν γονέων φύς. Προσελθών τῇ ἀμωμήτῳ τοῦ Χριστοῦ πίστει, ἤθλησεν ὑπέρ αὐτοῦ ἐν ἔτει σωτηρίῳ 1814 ἀποτμηθείς τήν κεφαλήν τῇ κγ΄. Σεπτεμβρίου μηνός. Ἐν Βραχωρίῳ, ἔνθα τόν ἀγῶνα τοῦ μαρτυρίου διήνυσε, τό ἀθλητικόν αὐτοῦ λείψανον, φόβῳ τῶν Ἀγαρηνῶν, ἐτάφη ἐν σπουδῇ παρά τινων εὐλαβῶν Χριστιανῶν ἔν τινι ἀγρῷ, ἐξ οὗ μετηνέχθησαν τά ἱερά ἤδη ὀστᾶ κρύφα χερσίν ὁσίαις παρά τοῦ ἐν τῇ μοναχικῇ ζωῇ διαπρέποντος, τοῦ καί τῷ τῆς ἱερωσύνης ἀξιώματι τετιμημένου Κυρίλλου τοὐπίκλην Καστανοφύλλη, εἰς τήν ἱεράν Μονήν τῆς Προυσιωτίσσης, ἐν τῇ ἐνιαυτῶν 1814 - 1821 περιόδῳ καί ἐναπετέθησαν ἐν τῇ κρύπτῃ τοῦ Σκευοφυλακίου. Παρεληλυθότων δέ χρόνων ἱκανῶν λήθῃ περιέπεσον καί ἐτέλουν τοῖς πᾶσιν ἀφανῆ καί ἄγνωστα. Ἐπί τῆς κρύπτης, χειρί τοῦ κομίσαντος, ἐγκεχάρακται τάδε: «Οὐ μεταλλεῖον ἀργυροχρύσου πέλω, ἀλλ᾽ ὄλβον φέρω. Πάντα λίθον μή κίνει».

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Οὕτως εἶχον τά πράγματα, ὅτε νεύσει τοῦ Ἁγίου, ἐν ἔτει σωτηρίῳ 1974 τῇ δ΄. Ἰανουαρίου μηνός, εὐλογοῦντος τοῦ οἰκείου Μητροπολίτου κ. Δαμασκηνοῦ, ἠθουλήθησαν οἱ τῆς προρρηθείσης Μονῆς ἀδελφοί διᾶραι τόν λίθον πρός ἀποκάλυψιν τοῦ κεκρυμμένου μυστηρίου. Καί τούτου γενομένου, ἄρρητος ἐξῆλθεν εὐωδία, εὐφραίνουσα καί ἐκπλήττουσα πάντας, καί ξύλινον κιβώτιον τεθέαται ἐντός τῆς κρύπτης, ἐν ᾧ εὕρηται ἡ κάρα μετά τῶν ὀστέων ἀγνώστου ἡμῖν Ἁγίου. Ἐρευνωμένου ἔτι τοῦ τόπου καί τῶν ἱερῶν συλλεγομένων ὀστῶν, εὑρέθη κέραμος, ἐν ᾗ ἐπιγέγραπται: «ΙΣ ΧΣ ΝΙ ΚΑ. Οὗτος ἦν ὁ ἐξ Ὀθωμανῶν Ἰωάννης, ὁ ἐν Βραχωρίῳ ὑπέρ Χριστοῦ μαρτυρήσας κατά τό 1814 Σεπτεμβρίου κγ΄».

Γνωσθέντος τοῦ ὀνόματος τοῦ Ἁγίου ἐπλήσθησαν πάντες χαρᾶς ἁγίας καί πολλῆς κατανύξεως καί ἐν ἱερᾷ προπομπείᾳ, προεξάρχοντος τοῦ ἁγίου Ἀρχιερέως, μετηνέχθησαν τά μαρτυρικά τοῦ Ἁγίου Ἰωάννου λείψανα ἐν τῷ τῆς Μονῆς τεμένει, ἔνθα καί κατετέθησαν, πρός ἁγιασμόν καί ἴασιν ψυχῶν καί σωμάτων τῶν εὐλαβῶς προσερχομένων αὐτοῖς.

Ταῦτα ἐγένοντο ἐν τῇ ἱερᾷ τῆς Προυσιωτίσσης Μονῇ, ἀρχιερατεύοντος τοῦ Σεβασμιωτάτου Μητροπολίτου κ. Δαμασκηνοῦ Κοτζιᾶ καί ἡγουμενεύοντος τοῦ Πανοσιολογιωτάτου Ἀρχιμανδρίτου κ. Γρηγορίου Ζουμῆ, ἐν ἔτει σωτηρίῳ 1974.

Ταῖς αὐτοῦ πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον
καί σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδή ζ΄. *Τούς ἐν καμίνῳ.***

Επισκιάσει θείων δωρεῶν, ὀσμήν ἀποπνέουσιν οὐράνιον ἡμῖν, ἡ τῶν σεπτῶν σορός Λειψάνων σου, Ἰωάννη ἔνδοξε, καί δυσωδίαν παθῶν, δεινῶν ἐλαύνουσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Λελαμπρυσμένος θείαις καλλοναῖς, πρόστηθι Ἅγιε ἐξ ἀδύτων νοητῶν, σήν ἀρωγήν πᾶσι παρεχόμενος, τοῖς πιστῶς προσπίπτουσι, τῇ μυριπνόῳ σορῷ, τῶν σῶν ἁγίων ὀστῶν.

Πύργος ἰσχύος ἔσο εἰσαεί, μετά τήν Ἄχραντον Θεοτόκον Μαριάμ, ταύτῃ τῇ ἁγίᾳ Μάνδρᾳ Ἅγιε, τῇ ὡς ὄλβον ἄσυλον, θησαυρισάσῃ τά σά, πάντιμα Λείψανα.

**Θεοτοκίον.**

Ὡς τόν ἁπάντων Κτίστην καί Θεόν, τεκοῦσα ἐν σώματι Θεοτόκε Μαριάμ, τοῦτον ἐκτενῶς Κόρη ἱκέτευε, τοῦ διδόναι πάντοτε, ἁμαρτιῶν ἱλασμόν, τοῖς σέ ὑμνοῦσι πιστῶς.

**Ὠδή η΄. Ὅν φρίττουσιν Ἄγγελοι.**

Γενναίως ἠγώνισαι, κατά τῶν δυσσεβῶν, καί τοῦτο ἐκφαίνουσι, τά θεῖά σου ὀστᾶ, ἅ πίστει τιμῶντες, Ἰωάννη κλεινέ, χάριν ἀπαντλοῦμεν, Χριστόν ὑπερυψοῦντες.

Ἐνθέως εὐφραίνεται Μονή ἡ εὐαγής, Προυσιωτίσσης Ἅγιε, τῶν θείων σου ὀστῶν, πλουτοῦσα τήν θήκην, καί πάντας καλεῖ, μετασχεῖν παμμάκαρ, ἁγιασμοῦ τοῦ θείου.

Ρυσθῆναι ἱκέτευε, παντοίων πειρασμῶν, τούς μέλποντας Ἅγιε, τήν ἄθλησιν τήν σήν, καί νῦν εὐφημοῦντας, τῶν σεπτῶν σου ὀστῶν, τήν εὕρεσιν Μάρτυς, ἐν ἑορταῖς ἁγίαις.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Θεοτοκίον.**

Αγία Θεόνυμφε, Παρθένε Μαριάμ, ἁγίων τόν Ἅγιον, ἡ τέξασα σαρκί, ἁγίας ζωῆς με, ἐργάτην ἀληθῆ, ἀνάδειξον καί σῶσον, τῆς τοῦ ἐχθροῦ μανίας.

**Ὠδή θ΄. Τήν ζωοδόχον πηγήν.**

Στεφάνῳ δόξης ἀΰλου κοσμούμενος, καί τῶν Μαρτύρων χοροῖς ἀριθμούμενος, σύν αὐτοῖς ἱκέτευε, Ἰωάννη ἔνδοξε, ὑπέρ τῶν πίστει καί πόθῳ προσιόντων, ἐν τῇ σορῷ τῶν ἁγίων Λειψὰνων σου.

Ιδε ἐξ ὕψους ἱλέῳ ἐν ὄμματι, τούς τῇ σεπτῇ σου σορῷ προσπελάζοντας, καί ἑκάστῳ Ἅγιε, δίδου τά αἰτήματα, ψυχῶν ὁμοῦ καί σωμάτων σωτηρίαν, καί τῶν ἐν βίῳ δεινῶν ἀπολύτρωσιν.

Μαρτυρικῶς καθελών τόν ἀντίπαλον, Μαρτυρικῆς εὐκληρίας ἠξίωσαι· ὅθεν πάσης θλίψεως, ἀνωτέρους φύλαττε, τούς ἑορτάζοντας Μάρτυς Ἰωάννη, τήν τῶν ἁγίων Λειψάνων σου εὕρεσιν.

Ο τῆς Κονίτσης βλαστός ἐνθεώτατος, καί Βραχωρίου τό θεῖον ἀγλάϊσμα, τῆς Προυσιωτίσσης δέ, Μονῆς τό θησαύρισμα, δίδου ἀεί τήν θρμήν σου προστασίαν, ὦ Ἰωάννη τοῖς σέ μακαρίζουσι.

**Θεοτοκίον.**

Υπερφυῶς τόν Θεόν ἐσωμάτωσας, ἐκ τῆς ἀρᾶς τόν Ἀδάμ ἐκλυτρούμενον, μόνη Παντευλόγητε· ὅθεν κἀμέ λύτρωσαι, ἐκ τῆς πικρᾶς τοῦ Βελίαρ τυραννίδος, ἵνα ὑμνῶ σε ἀεί Ὑπερύμνητε.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.**

Ως θησαυρόν πολύτιμον, τήν ἁγίαν σορόν σου, τοῦ Παναγίου Πνεύματος, ἐφανέρωσας ἄρτι, Προυσιωτίσσης τῇ Μάνδρᾳ, Ἰωάννη θεόφρον, ᾗ πίστει προσπελάζοντες, καί ψυχῶν καί σωμάτων ἁγιασμόν, ἐξ αὐτῆς λαμβάνομεν ἀνυμνοῦντες, Χριστόν τόν σέ δοξάσαντα, μαρτυρίου τῇ δόξῃ.

**Ὅμοιον. Προέρτιον.**

Χριστός ὁ πάντων Κύριος, καί Θεός καί Δεσπότης, ἐθελουσίως ἔρχεται, Ἰορδάνου τοῖς ρείθροις, τῷ βαπτισμῷ ἐκκαθᾶραι, τῶν βροτῶν τήν οὐσίαν· ὦ Ἰωάννη Πρόδρομε, πρόσελθε μετά φόβου τῷ Λυτρωτῇ, καί τήν τούτου ὕμνησον εὐσπλαγχνίαν, δι' ἧς υἱοί γεγόναμεν, τοῦ Θεοῦ κατά χάριν.

**Εἰς τούς Αἴνους.**

**Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.**
**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Πανήγυριν ἄγομεν λαμπράν, Ἰωάννη ἔνδοξε, τήν τῶν Λειψάνων σου εὕρεσιν, φαιδρῶς γεραίροντες· ὅτι ἡμῖν ταῦτα, ἄρτι ἀπεκάλυψας, πηγάζοντα τήν χάριν τήν ἄφθονον, τοῦ θείου Πνεύματος, καί ἰσχύν πᾶσι παρέχοντα, τοῖς ἐν πίστει, προσιοῦσιν Ἅγιε.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Αἱμάτων σου Μάρτυς τοῖς κρουνοῖς, εὐσεβῶν κατήρδευσας, ἐν Βραχωρίῳ τό πλήρωμα, καί τοῖς Λειψάνοις σου, τῆς Προυσιωτίσσης, τήν Μονήν ἡγίασας, ὧν μνείαν τῆς εὑρέσεως ἄγοντες, ἀναβοῶμέν σοι· Τῇ Τριάδι ἀεί πρέσβευε, Ἰωάννη, ὑπέρ τῶν τιμώντων σε.

Εὐφράνθη χορός τῶν Μοναστῶν, μετά πολυχρόνιον, εὑρών κατάκρυψιν Ἅγιε τήν τῶν Λειψάνων σου, μυρίπνοον θήκην, ἥν καί μετεκόμισεν, ἐν πίστει ἐκ τῆς κρύπτης ᾗ ἔκειντο, τῷ τεμενίσματι, τῆς Μονῆς πᾶσι παρέχοντα Ἰωάννη, χάριν θεοδώρητον.

Κονίτσης βλαστός ὁ εὐθαλής, ὁ Μαρτύρων σύναθλος, τοῦ Βραχωρίου τό καύχημα, Προυσιωτίσσης δέ, Μονῆς τῆς ἁγίας, τό νέον ἐντρύφημα, ὑμνείσθω Ἰωάννης ὁ ἔνδοξος, οὗ τήν ἀνάδειξιν, μετά χρόνιον κατάκρυψιν, τῶν Λειψάνων, πόθῳ ἑορτάζομεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Δόξα.** **Ἦχος πλ.α΄.**

Ἐξ ἀκανθῶν ὡς ἄνθος εὐῶδες, τῇ Ἐκκλησίᾳ ὤφθης, ὑπέρ Χριστοῦ καλῶς ἀθλήσας, Ἰωάννη Νεομάρτυς παμμάκαρ· καί τῆς ἀλήκτου ζωῆς, τόν ἀμαράντινον στέφανον δεξάμενος, τῆς πεποθημένης θεώσεως, σύν Μαρτύρων δήμοις ἠξίωσαι. Ὅθεν τά θεῖα σου Λείψανα, τά πάλαι ἡμῖν ἄγνωστα εἰς φῶς ἐξήγαγες, τῆς ἡμῶν σωτηρίας προμηθούμενος· διό ᾠδήν χαριστήριόν σοι ᾄδομεν, καί ἐν κατανύξει βοῶμέν σοι· Μή επιλάθῃ Ἅγιε, τῶν σέ πιστῶς τιμώντων, ἀλλ' ἀπαύστως πρέ-

σθευε, τῷ ἐλεήμονι Θεῷ, ρύεσθαι ἡμᾶς πάσης περιστάσεως.

**Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.**

Ἐν Ἰορδάνῃ ποταμῷ, Χριστός ὁ Θεός ἡμῶν, μολεῖ πρός τό βάπτισμα καθᾶραι θέλων ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῇ αὐτοῦ ἐπιφανείᾳ, ὡς μόνος ἀγαθός καί φιλάνθρωπος.

**Δοξολογία μεγάλη, καί Ἀπόλυσις.**

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τά συνήθη. Ἀπόστολον, ζήτει τῇ ιε΄. Κυριακῇ.**
**Εὐαγγέλιον κατά Ματθαῖον: Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἰδού, ἐγώ ἀποστέλλω ὑμᾶς...,**
**ζήτει τῇ Τετάρτῃ τῆς γ΄. ἑβδομάδος.**

**Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον...**
**Μεγαλυνάριον.**

Χάριν ἀναβλύζει παρά Θεοῦ, ἡ τῶν σῶν Λειψάνων, Νεομάρτυς σεπτή σορός, ἧς ὑμνολογοῦντες, τήν εὕρεσιν ὑμνοῦμεν, παμμάκαρ Ἰωάννη, τόν σέ δοξάσαντα.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Ἕτερον.**

Χαίρει τοῖς Λειψάνοις σου τοῖς σεπτοῖς, ἡ Προυσιωτίσσης, Νεομάρτυς θεία Μονή· τῦτα γάρ ὡς δῶρον, θεόσδοτον κατέχει, ἄρτι φανερωθέντα, τῇ αντιλήψει σου.

**Δίστιχον**

Ἰωάννη ἄνωθεν χάριν μοι δίδου,
Γερασίμῳ μέλψαντι τήν ἄθλησίν σου.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

## ΤΡΟΠΑΡΙΑ ΟΚΤΩΗΧΑ

## ΨΑΛΛΟΜΕΝΑ ΚΑΤΑ ΤΗΝ ΠΡΟΣΚΥΝΗΣΙΝ ΤΩΝ ΤΙΜΙΩΝ ΛΕΙΨΑΝΩΝ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΙΩΑΝΝΟΥ

**ΠΟΙΗΜΑ**

**ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ**

**φέροντα δέ ἀκροστιχίδα:**

**«Γερασίμου Μικραγιαννανίτου»**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Γενναίως καθεῖλες τόν ἐχθρόν, τῇ στερρᾷ ἀθλήσει σου, καί τοῖς τιμίοις Λειψάνοις σου, πιστῶν τό πλήρωμα, τῇ σοί δεδομένῃ, ἁγιάζεις χάριτι, οἷς πίστει προσιόντες ἑκάστοτε, πιστῶς βοῶμέν σοι· Νεομάρτυς ἀξιάγαστε, Ἰωάννη, σκέπε τούς τιμῶντάς σε.

**Δόξα.**

Ἐπλήσθη χαρᾶς πνευματικῆς. Μονή ἡ περίπυστος, Προυσιωτίσσης, ὡς εὕρατο, τῇ εὐδοκίᾳ σου, μάκαρ Ἰωάννη, τά σεπτά σου Λείψανα, καί ταῦτα εὐλαβῶς περιστείλασα, πιστῶς προσπτύσσεται, Νεομάρτυς ἀξιάγαστε, καί δοξάζει, τόν σέ στεφανώσαντα.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Καί νῦν.**

Ρωσθείς τῇ δυνάμει τοῦ Χριστοῦ, σύμμορφος γεγένησαι, τῇ ψυχικῇ σου στερρότητι, ἐσχάτοις ἔτεσι, τῶν πάλαι Μαρτύρων, καί τῆς δόξης σύγκληρος, ἀθλήσας ἐννομώτατα ἅγιε· διό βοῶμέν σοι· Τούς τιμῶντάς σου τά Λείψανα, Ἰωάννη, ρύου πάσης θλίψεως.

**Ἦχος β΄.**

**Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Αἷμά σου ἐκχέας τό σεπτόν, ὑπέρ τῆς ἀγάπης Κυρίου, στερρῷ φρονήματι, δόξης κατηξίωσαι, τῆς ὑπέρ ἔννοιαν, ἧς τά θεῖά σου Λείψανα, Μάρτυς μετασχόντα, ἅπασι προφαίνουσι, ζωήν τήν μέλλουσαν, ἅπερ εὐλαβῶς προσκυνοῦντες, τούς μαρτυρικούς σου ἀγῶνας, ὕμνοις Ἰωάννη μακαρίζομεν.

**Δόξα.**

Σῶμά σου θεόφρον τό σεπτόν, μετά τό σόν ἅγιον τέλος, ἐν εὐλαβείᾳ πολλῇ, λάθρᾳ μετενήνεκται, καί ἀποκέκρυπται,εἰς Μονήν τήν περίβλεπτον, τῆς Προυσιωτίσσης, ὡς ἄν λάθῃ, Ἅγιε, Ἀγαρηνῶν τήν βουλήν, ὅπερ νῦν εὑρόντες σῇ νεύσει, εὕρομεν πολλήν εὐφροσύνην, Ἰωάννη μέλποντες τούς ἄθλους σου.

**Καί νῦν.**

Ἴδε τούς ἑστῶτας εὐλαβῶς, μάκαρ τοῖς σεπτοῖς σου Λειψάνοις, καί προσκυνοῦντας αὐτά, ὡς κατοικητήρια τῆς θείας χάριτος, καί ἡμῶν τά αἰτήματα, πλήρου

Δημόσια Κεντρική Βιβλιοθήκη Κοζάνης

Ἰωάννη, ὡς πολλήν πρός Κύριον, τήν παρρησίαν πλουτῶν ,λύσιν πειρασμῶν καί κινδύνων, πᾶσιν ἐξαιτούμενος Μάρτυς, καί πλημμελημάτων ἀπολύτρωσιν.

**Ἦχος γ΄.**
**Μεγάλη τῶν Μαρτύρων σου.**

Μεγάλην πρός Χριστοῦ δόξαν ἐπλούτησας, ὑπέρ αὐτοῦ ἀθλήσας, ἀπεριτρέπτῳ στάσει· ἔνθεν χάριτος μεγάλην ἠξιώθη, παμμάκαρ Ἰωάννη, ἡ τῶν Λειψάνων σου σορός ἡ μυροβόλος.

**Δόξα.**

Ο νέος τοῦ Χριστοῦ ὁπλίτης ἀνυμνείσθω μοι, ὁ φερωνύμως κλῆσιν, πλουτῶν τήν χαριτώνυμον, ὁ τά Λείψανα αὐτοῦ ἀποκαλύψας, τά πάλαι κεκρυμμένα, καθαγιάζοντα ἡμῶν τάς διανοίας.

**Καί νῦν.**

Υπέρ ὀσμήν ἀγροῦ πλήρους Μάρτυς ὡς γέγραπται, τά θεῖα Λείψανά σου, ἡμᾶς ἀρωματίζοντα, ἡ εὐαγής Προυσιωτίσσης Μάνδρα, κατέχουσα ἐν κόλποις, μακαρίζει σου, Ἰωάννη τούς ἀγῶνας.

**Ἦχος δ΄.**
**Ὡς γενναῖος ἐν Μάρτυσι.**

Μαρτυρίου τό στάδιον, ἀνενδότῳ φρονήματι, Ἰωάννη ἔνδοξε ἐκτετέλεκας, καί τῶν Μαρτύρων ἰσότιμος, ἐν πᾶσι γενόμενος, πρέσβυς ὤφθης πρός

Δημόσια Κεντρική Βιβλιοθήκη Κοζάνης

Χριστόν, τῶν πιστῶς εὐφημούντων σου τήν ἀνεύρεσιν, τῶν παντίμων Λειψάνων κεκρυμμένων, διά φόβον τῶν τυράννων, ἅ εὐλαβῶς προσπτυσσόμεθα.

**Δόξα.**

Ιερώτατον σφάγιον, τῷ Χριστῷ προσενήνεξαι, ἐκτμηθείς μακάριε τόν αὐχένα σου, καί τό σόν πάντιμον Λείψανον, ροαῖς τῶν αἱμάτων σου, λαμπρυνθέν ἀθλητικῶς, ἡμῖν ἄρτι δεδώρηται, ὡς πολύτιμον, καί οὐράνιον δῶρον Ἰωάννη, ἁγιάζον καί εὐφραῖνον, τούς εὐλαβῶς τούτῳ σπεύδοντας.

**Καί νῦν.**

Κρύψιν χρόνιον ἔσχηκεν, ἡ σορός τῶν Λειψάνων σου, καί τοῖς πᾶσιν ἄγνωστος οὖσα Ἅγιε, νῦν εὐδοκίᾳ τοῦ κρείττονος, ἡμῖν πεφανέρωται, ὥσπερ θεῖος θησαυρός, καί τεκμήριον ἄριστον, τῆς εὐκλείας σου, ἥν θεόθεν ἐκτήσω καί εὐφραίνει, τήν Μονήν Προυσιωτίσσης, ἀσματικῶς ἀνυμνοῦσάν σε.

**Ἦχος πλ. α΄.**
**Χαίροις ἀσκητικῶν.**

Ρίζης ἐξ ἀκανθώδους φυείς, οἷά περ ρόδον Ἰωάννη πανεύοσμον, εὐφραίνεις τῶν σῶν ἀγώνων, τῇ εὐωδίᾳ σοφέ, πιστῶν τάς καρδίας θείῳ Πνεύματι· καί νῦν τῶν Λειψάνων σου, ταῖς ὀσμαῖς κατεμύρισας, τάς διανοίας, τῶν τιμώντων τούς ἄθλους σου, καί ὑμνούντων σε, ὡς Χριστοῦ Νεομάρτυρα. Ὅθεν τήν τούτων εὕρεσιν, λαμπρῶς ἑορτάζοντες, τήν σήν ἐξ ὕψους ταχεῖαν,

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

ἀπεκδεχόμεθα σύναρσιν, Χριστόν ἀνυμνοῦντες, τόν δωρούμενον τῷ κόσμῳ, τό μέγα ἔλεος.

**Δόξα.**

Αρον πρός τόν Δεσπότην Χριστόν, χεῖρας ἱκέτιδας δεόμενος Ἅγιε, δοθῆναι πταισμάτων λύσιν, καί φωτισμόν τῇ ψυχῇ, καί παθῶν παντοίων ἀπολύτρωσιν, τοῖς πόθῳ τιμῶσί σε, ὡς Χριστοῦ Νεομάρτυρα, καί τῶν Λειψάνων, τῶν σεπτῶν σου τήν εὕρεσιν, ἑορτάζουσιν, ὡς ἡμέραν ἑόρτιον· σύ γάρ τῶν ὑπέρ ἔννοιαν, μετέχων ἐλλάμψεων, καί συγχορεύων Ἀγγέλοις, πάντων πληροῖς τά αἰτήματα, Χριστόν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό θεῖον ἔλεος.

**Καί νῦν.**

Γνόντες ἐκ τῆς κεράμου σαφῶς, τήν θείαν κλῆσίν σου χαρᾶς ἐπληρώθησαν, οἱ πόθῳ ἔνδον τῆς κρύπτης, τά σά ὀστᾶ ἀληθῶς, Μονασταί εὑρόντες χαριτώνυμε, καί ταῦτα συστείλαντες, εὐλαβῶς μετεκόμισαν, πομπῇ ἁγίᾳ τοῦ σεπτοῦ ἀρχιποίμενος, προεξάρχοντος, τῷ Ναῷ ἀνυμνοῦντές σε· ὅθεν τούτοις προσπίπτοντες, πιστῶς ἐκβοῶμέν σοι· Δίδου ἡμῖν Ἰωάννη, τήν σήν ταχεῖαν ἀντίληψιν, Χριστόν ἱκετεύων, παρασχεῖν φῶς καί εἰρήνην, τοῖς σέ γεραίρουσι.

**Ἦχος πλ. β΄.**
**Ὅλην ἀποθέμενοι.**

Ισχυσας σθενούμενος, τῇ θεϊκῇ δυναστείᾳ, καθελεῖν τοῦ δράκοντος, ἅπασαν τήν ἔνστασιν τῇ ἀθλήσει σου, καί λαβεῖν στέφανον, τόν τῆς ἀφθαρσίας,

Δημόσια Κεντρική Βιβλιοθήκη Κοζάνης

ἐκ χειρός τοῦ Παντοκράτορος, Μάρτυς ἠξίωσαι, ὥσπερ Ἀθλοφόρος ἀήττητος· καί νῦν ἡμῖν δεδώρησαι, τήν σορόν τῶν θείων ὀστέων σου, οἷα μυροθήκην, τῆς χάριτος τῆς θείας ἀληθῶς, καί θυμηδίαν ἐν θλίψεσι, καί θερμόν προσφύγιον.

**Δόξα.**

Ἅπαντες ἐξέστησαν, ἡνίκα ἔγνωσαν Μάρτυς, τήν ἁγίαν κλῆσίν σου, καί πιστῶς προσέπεσον τοῖς Λειψάνοις σου, καί θερμοῖς δάκυσιν, ἱλασμόν ᾐτοῦντο, διά σοῦ λαβεῖν καί ἴασιν, ψυχῆς καί σώματος, παρά τοῦ λαμπρῶς σε δοξάσαντος, ᾧ πρέσβευε δεόμεθα, τῆς ἐπουρανίου λαμπρότητος, τυχεῖν Ἰωάννη, τούς μέλποντας τήν ἄθλησιν τήν σήν, δι᾽ ἧς Μαρτύρων ἰσότιμος, ὤφθης καί ὁμόστεφος.

**Καί νῦν.**

Νέον ἄστρον πέφηνας, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, λιπών τήν σκοτόμαιναν, τῆς ἀπάτης Ἅγιε νοΐ σώφρονι, καί εχρθοῦ ἔλυσας, τάς μηχανουργίας, Νεομάρτυς τῇ ἀθλήσει σου· ὅθεν τήν ἄδυτον, εἴληφας καί θείαν λαμπρότητα, καί πᾶσιν ἐφανέρωσας, ἐκ νυκτός σιγῆς τά σά Λείψανα, ἀκτῖνας θαυμάτων, ἐκλάμποντα ἡμῖν θείᾳ στοργῇ καί διαλύοντα, πειρασμῶν καί θλίψεων.

**Ἦχος βαρύς.**
**Οὐκ ἔτι κωλυόμεθα.**

Νεκρώσας τήν ἀπάτην ἀθλήσει τῇ σῇ, Ἰωάννη ἔνδοξε αἰωνίου, ζωῆς ἠξίωσαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

**Δόξα.**

Ἄπαντες προσπίπτοντες ἐν πίστει θερμῇ, Ἰωάννη ἔνδοξε σοῖς Λειψάνοις, πόνων ρυόμεθα.

**Καί νῦν.**

Νῦν Προυσιωτίσσης ἡ ἁγία Μονή, χαίρει τοῖς Λειψάνοις σου Νεομάρτυς, καί πόθῳ γεραίρει σε.

**Ἦχος πλ.δ΄.**
**Ὢ τοῦ παραδόξου θαύματος!**

Ἵνα τῆς χαρᾶς τῆς κρείττονος, καί τῆς ἀλήκτου ζωῆς, κληρονόμος καί μέτοχος, ἐποφθῇ ὑπέκλινας, δι' ἀγάπην τήν ἔνθεον, τήν κεφαλήν σου τῷ ξίφει Ἅγιε, καί τοῦ σοῦ πόθου λαμπρῶς ἠξίωσαι· ὅθεν ἱκέτευε, Ἰωάννη ἔνδοξε, ὑπέρ ὑμῶν, τῶν ἀσπαζομένων σου, τά θεῖα Λείψανα.

Τέλος τό θεῖον δεξάμενος, ἐν Βραχωρίῳ στερρῶς, πρός τήν ἄνω λαμπρότητα, νικηφόρος ἔδραμες, Ἰωάννη πανεύφημε, οἱ εὐσεβεῖς δέ τό θεῖον σκῆνός σου, λάθρᾳ ἐκεῖθεν εἰς Προυσιώτισσαν, πίστει μετήνεγκαν, ὅ κρυβέν ἐγνώρισται, ἄρτι ἡμῖν, χάριν τήν σωτήριον, παρέχον ἅπασι.

**Δόξα.**

Ὄλβον ὥσπερ θεῖον κέκτηται, Προυσιωτίσσης Μονή, τά σά Λείψανα Ἅγιε, ὧνπερ τήν φανέρωσιν ἑορτάζει τιμῶσά σε, καί προσκαλεῖται πιστῶν τό

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

πλήρωμα, λαβεῖν ἐκ τούτων χάριν καί ἔλεος· πᾶσι παρέχεις γάρ Μάρτυς τά αἰτήματα ὡς τοῦ Χριστοῦ, κεκτημένος ἄνωθεν, τόν οἶκτον ἔνδοξε.

**Καί νῦν.**

Ὕμνοις ἱεροῖς καί ᾄσμασι, πρώην τήν μνήμην τῆς σῆς, Νεομάρτυς ἀθλήσεως, μέλψαντες ἐπλήσθημεν, οὐρανίου φαιδρότητος· νῦν δέ Λειψάνων σου τήν φανέρωσιν, ἀνευφημοῦντες ἀναβοῶμέν σοι· Πλήρου ἑκάστοτε, ἡμῶν τά αἰτήματα καί τῷ Χριστῷ Ἰωάννη πρέσβευε, σώζεσθαι ἅπαντας.

**Ἕτερον Προσόμοιον ψαλλόμενον ἐν τῇ Ἀπολύσει τῆς Ἀγρυπνίας.**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Πίστει παρεστῶτες τῇ σορῷ τῶν σῶν μυριπνόων Λειψάνων, καί εὐλαβείᾳ θερμῇ, Ἰωάννη ἔνδοξε, ἀναβοῶμέν σοι· Οὐρανόθεν ἐπίβλεψον, τούς περικυκλοῦντας, τά σεπτά σου Λείψανα, καί δίδου ἅπασι χάριν καί εἰρήνην καί ρῶσιν, καί ἀπαλλαγήν τῶν κινδύνων, ταῖς πρός τόν Σωτῆρα ἱκεσίαις σου.

**Δίστιχον.**
**Ἰωάννη δίδου μοι τῷ Γερασίμῳ**
**Τούσδε ὕμνους πλέξαντι χάριν θεόθεν.**

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας
ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# ΕΠΙΜΕΤΡΟΝ

## ΒΙΒΛΙΟΓΡΑΦΙΑ

### 1. Πηγαί

**α) Χειρ. Κώδικες**

῾Ο ὑπ' ἀρ. 42, τῆς ἱ. Μονῆς Προυσιωτίσσης, σ. 845.

**β) Συναξάρια – Μαρτυρολόγια**

Νέον Λειμωνάριον: Βενετία (1819) σσ. 261 - 263, καί ἔκδ. Γ' Ἀθῆναι (1875) σσ. 331 - 334. ῾Οσίου Νικοδήμου, Συναξαριστής, ἔ.ἀ. (1819) τ.Α' σ. 75, καί ἔκδ. Γ' (1868) τ.Α' σ. 63. Κ. Δουκάκη, τ.Θ' σσ. 296 - 300, καί ἔκδ. Β' (ὑπό ΟΧΕ 1948) τ. Α' σσ. 221 - 225. Ζ. Μολοττοῦ, ἔ.ἀ. σσ. 560 - 562. Βίκ. Ματθαίου, ἔ.ἀ.τ. Θ' (1950) σσ. 461 - 464, καί ἔκδ. Β' τ. Θ' (1963) σσ. 498 - 501. Χρυσοσ. Παπαδοπούλου, ἔ.ἀ. 198, ἔκδ. Β' σ. 70, καί ἔκδ. Γ', σ. 118. Σωφρ. Εὐστρατιάδου, ἔ.ἀ.σ. 240. 'Ι. Μ. Περαντώνη, ἔ.ἀ.τ. Β' σσ. 265 - 266. Ἀρχ. Χαρ. Βασιλοπούλου καί ἱερέως Διονυσίου Δ. Τάτση ῾Ο Ἅγιος Ἰωάννης ὁ ἐν Ἀγρινίῳ μαρτυρήσας, Ἀθῆναι 1978 σσ. 42.

**γ) Λειτουργικά Βιβλία**

῾Ωρολόγιον τό Μέγα: ἔκδ. ΑΔΕΕ (1967) σ. 640, ἔκδ. «Ἀστέρος» (1973) σ. 513. ῾Ιερατικόν: ΑΔΕΕ (1977) σ. 296. Μ. Εὐχολόγιον: ΑΔΕΕ (1956) σ. 425. Συνέκδημοι: ἔκδ. «Ἀστέρος» (1961) σ. 1305, ἔκδ. «Τῆνος» (ἀχρ.) σ. 985, καί ἔκδ. «Φῶς» (1971) σ. 985. Ἐκκλησ/κόν ῾Ημερολόγιον: ΑΔΕΕ (1975) σσ. 449, 495 (ὡς καί εἰς τάς ἀντιστοίχους σελίδας τῆς κατ' ἔτος αὐτοῦ καί τῶν ἄλλων βιβλίων ἐπανεκδόσεως).

**δ) Ἀσματικαί Ἀκολουθίαι**

Ἀσματικήν Ἀκολουθίαν εἰς τόν Νεομάρτυρα Ἅγιον Ἰωάννην ἔγραψεν ἀνώνυμος ποιητής, «συμπολίτης» αὐτοῦ, εἰς Κόνιτσαν τό ἔτος 1867. ῾Η ἐν λόγῳ χειρόγραφος Ἀκολουθία, διαστ. 0,20 × 0,14 καί ἀπτελουμένη ἐκ 40 σελ., φέρει τά ἑξῆς ἐπιγραφικά στοιχεῖα: «Ἀκολουθία τοῦ ῾Αγίου Νεομάρτυρος Ἰωάννου τοῦ ἐκ Κονίτσης. Ἀθλήσαντος εἰς Ράχωβαν τῆς ῾Ελλάδος. Τό 1814. Συλλεχθεῖσα ὑπό τινός τῶν εὐλαβεστάτων τοῦ Ὀρθοδόξου Κλήρου. Ἐκδίδεται ἀναλώμασιν τοῦ αὐτοῦ. Κόνιτσα 1867»[1]. ῾Ο Βίος καί τό Μαρτύριον τοῦ Νεομάρτυρος παρεμβάλλονται ὑπό τύπον Συναξαρίου μεταξύ τῆς στ'

1. Τά ἐπιγραφικά στοιχεῖα ἀκολουθοῦν καί διατηροῦν τήν ὀρθογραφίαν καί στίξιν τοῦ ποιητοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

καί ζ΄ ᾠδῆς τοῦ Κανόνος σσ. 22 - 30. Ἐπίσης εἰς τήν μεταξύ τῶν Τροπαρίων τῆς θ΄ ᾠδῆς 35ην σελίδα ἀναγράφονται δώδεκα ἕτεροι γνωστοί Νεομάρτυρες. Τέλος, ἡ πληροφορία, ἡ ὁποία ἀναφέρεται εἰς τά προλεγόμενα τῆς Ἀκολουθίας σ. 4: «...ἀπεφάσισα καί ἐπόνησα, ὅσον τό ἐπ᾽ ἐμοί, πρός συλλογήν καί διά τοῦ τύπου ἔκδοσιν τῆς παρούσης μικρᾶς Βίβλου, ὡς καί πρίν τήν τοῦ Νεομάρτυρος Γεωργίου καί Ἰωάννου τοῦ Βλαδιμήρου», πιστεύομεν ὅτι ἀποκαλύπτει τόν ποιητήν. Οὗτος πρέπει νά εἶναι ὁ γνωστός ποιητής τῆς Ἀκολουθίας τοῦ Νεομάρτυρος Γεωργίου τοῦ ἐξ Ἰωαννίνων λόγιος Ἱερομόναχος Χρύσανθος Λαϊνᾶς[2].

Νέας ἀσματικάς Ἀκολουθίας εἰς τήν Μνήμην τοῦ Νεομάρτυρος, καθώς καί εἰς τήν εὕρεσιν τῶν ἱερῶν αὐτοῦ Λειψάνων ἐν τῇ ἱ. Μονῇ τῆς Προυσιωτίσσης, ἐποίησε προσφάτως ὁ Ὑμνογράφος τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας Μοναχός Γεράσιμος Μικραγιαννανίτης. Αἱ ἐν λόγῳ ἀσματικαί Ἀκολουθίαι, ἀκολουθούμεναι ἀπό Παρακλητικόν Κανόνα καί Ὀκτώηχα Τροπάρια ἀντιστοίχως, ἀνέκδοτοι μέχρι σήμερον, ἐκδίδονται νῦν ὑπό τῆς ἱ. Μονῆς Προυσιωτίσσης.

## 2. Ἀναφοραί εἰς Βιβλία Γενικοῦ Περιεχομένου

Σπ. Λάμπρου, ἔ.ἀ.τ. 10ος (1913) σ. 314. Δημητρίου Σαλαμάγκα, «Ὁ Νεομάρτυς Ἅγιος Γεώργιος Ἰωαννίνων, Συναξάρι», Ἀθῆναι 1954 σ. 14. Π. Ι. Βασιλείου, εἰς ΘΗΕ τ. Δ΄ (1962) σ. 1129 Γεωργίου Ἀθ. Οἰκονόμου, 40 Ἅγιοι τῆς Ἠπείρου, 1955 σ. 87. Κ. Σ. Κώνστα, εἰς περ. «Κοσμᾶς ὁ Αἰτωλός» φ. 2 (1967) σ. 229. Ι. Μ. Περαντώνη, Ἡ ἰδέα τῆς Ἱεραποστολῆς καί οἱ ἐξ Ἀγαρηνῶν Νεομάρτυρες, Ἀθῆναι 1966 σσ. 14 - 16 καί μετάφρασις αὐτοῦ εἰς τήν Ἀγγλικήν: «The concept of Mission and the Neomartyrs of Ottoman stock», Ἀθῆναι 1968 σσ. 12 - 13, τοῦ ἰδίου, εἰς ΘΗΕ τ. 7ος (1965) σ. 48. Κώστα Τριανταφυλλίδη, «Ἅη - Γιάννης ὁ Νεομάρτυς ὁ ἐν Βραχωρίῳ ἀθλήσας» εἰς περ. «Κοσμᾶς ὁ Αἰτωλός» φ. 52 (1970) σσ. 554 - 559. Ἀρχ. Παμφίλου Παπαγιάννη εἰς ΑΕΕ τ. 1ος σ. 208. Πρακτικόν τῆς Εὑρέσεως τῶν ἱερῶν Λειψάνων τοῦ Ἁγίου εἰς ἱ. Μονήν Προυσιωτίσσης. Βιβλίον Πρακτικῶν τῆς ἱ. Μονῆς 2 Ἰουνίου 1974. Ἀρχιμ. Ἀθανασίου Σφουγγατάκη, εἰς ἐφημ. «Μεσολογγίτικα Χρονικά» ἔτος Α΄ φ. 24 (26 - 6 - 1974) σσ. 1 - 2. Πρεσβ. Κων. Δ. Βαστάκη, Ὁ Νεομάρτυς Ἅγιος Ἰωάννης καί ἡ εὕρεσις τῶν ἱερῶν αὐτοῦ Λειψάνων» περ. «ΦΤΜΧ» ἔ.ἀ. (1974) φ. 15 - 16 σσ. 14 - 16 Πρεσβ. Διονυσίου Τάτση, Βίος τοῦ Νεομάρτυρος Ἰωάννου τοῦ ἐκ Κονίτσης, Κόνιτσα 1975 (Πολυγραφημένον), τοῦ ἰδίου, Ὁ Ἅγιος Ἰωάννης ὁ ἐκ Κονίτσης, Ἐφημ. «Ἠπειρωτικόν Μέλλον» 18 - 1- 1975, τοῦ ἰδίου, Ὁ Ἅγιος Ἰωάννης ὁ ἐκ Κονίτσης, Ἀθῆναι 1979, σσ. 48. Κ. Α.

---

2. Πρβλ. Δ. Σ. Σαλαμάγκα, ἔ.ἀ σσ. 130, 151-168 κ. ἑξ.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Πετρονικολοῦ, εἰς ΑΕΕ τ. 3ος σσ. 976 - 977. Μητροπολίτου Δρυϊνουπόλεως - Πωγωνιανῆς καί Κονίτσης Σεβαστιανοῦ, Σχετικόν ὑπ' ἀριθμ. 80/6-6 - 1978 Γράμμα αὐτοῦ πρός τήν ἱ. Μονήν Προυσιωτίσσης, τοῦ ἰδίου, Ποιμαν. ὑπ' ἀριθμ. 161/12 - 9 - 1978 αὐτοῦ Ἐγκύκλιος, τοῦ ἰδίου, εἰς ἐφημ. Ἰωαννίνων «Γραμμή», φ. 289/30 - 9 - 1978. Πρεσβ. Γεωργίου Παϊσίου, Ὁ Ἅγιος Ἰωάννης ὁ ἐκ Κονίτσης, περ. «Κόνιτσα» εἰς τεύχη 19 - 20 καί 21 - 23. Ἀνωνύμων: εἰς ΝΕΛΗ τ. 9ος σ. 1117, καί εἰς ΕΠΛ τ. 7ος σ. 926.

**3. Ξενόγλωσσος Βιβλιογραφία**

S. Salaville, «Pour un repertoire des néosaints de l' Eglise orientale» εἰς «Byzantion» 20 (1950) pp. 224 - 237. Ο F. A. Meinardus, ἔ.ἀ.σ. 109. Arch. Dr. Justin Popovič, ἔ.ἀ.τ. 7ος (1976) σ. 441.

**4. Προφορικαί Παραδόσεις**

Προφορικαί παραδόσεις διά τόν Νεομάρτυρα διασώζονται εἰς τό Ἀγρίνιον, ὅπου ἐπιδεικνύεται ὁ τόπος τοῦ Μαρτυρίου, καθώς καί εἰς τήν Κόνιτσαν τῆς Ἠπείρου, ἐκ τῆς ὁποίας κατήγετο.

## Β΄. ΙΕΡΑ ΛΕΙΨΑΝΑ – ΝΑΟΙ – ΕΙΚΟΝΕΣ

**1. Ἱερά Λείψανα**

Τά ἱερά Λείψανα τοῦ ἐνδόξου Νεομάρτυρος εὑρέθησαν κατά τάς ἀρχάς τοῦ ἔτους 1974 εἰς τήν ἱ. Μονήν Προυσιωτίσσης, ὅπου καί ὡς Θησαυρός αὐτῆς φυλάσσονται[3]. Ἐκ τῶν ἱερῶν τούτων Λειψάνων ὁ εἷς ἐκ τῶν Βραχιόνων ὀστῶν παρεχωρήθη εἰς τήν γενέτειραν αὐτοῦ καί κατετέθη εἰς τόν ἱ. Ναόν τοῦ Ἁγίου Κοσμᾶ τοῦ Αἰτωλοῦ Κονίτσης.

**2. Ναοί**

Ἰδιαίτερος Ναός εἰς τιμήν τοῦ Νεομάρτυρος μέχρι σήμερον δέν ἀνηγέρθη. Εἰς τήν ἰδιαιτέραν του πατρίδα Κόνιτσαν καί πλησίον αὐτῆς διασώζεται παλαιά παράδοσις ὅτι ὑπῆρχε Ναός τιμώμενος ἐπ' ὀνόματι αὐτοῦ. Τοῦ Ναοῦ τούτου μολονότι ἐχάθησαν τά ἴχνη, ὅμως ἡ τοποθεσία εἰς τήν ὁποίαν εὑρίσκετο καλεῖται μέχρι σήμερον «Ἅη Γιάννης». Κατά τούς προσφάτους χρόνους ἀνηγέρθη εἰς Κόνιτσαν Παρεκκλήσιον εἰς τιμήν του παραπλεύρως εἰς τόν περικαλλῆ Ναόν τοῦ Ἁγίου Κοσμᾶ τοῦ Αἰτωλοῦ. Ἐπίσης ὁ Νεομάρτυς συναριθμούμενος καί συνεικονιζόμενος μετά τῶν ἄλλων Εὐρυτάνων Ἁγίων θά τιμᾶται καί εἰς τόν ἐν Γαύρῳ Μεγάλου Χωρίου ἀναγειρόμενον ἱ. Ναόν αὐτῶν.

---

3. Περιγραφήν τῆς εὑρέσεως τῶν ἱ. Λειψάνων ἴδε περ. «Φ.Τ.Μ.Χ.», φ. 15 - 16 (1974) σσ. 14 - 15).

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

### 3. Εἰκόνες

#### α) Φορηταί

Παλαιά φορητή τρίμορφος εἰκών ὅπου συνεικονίζεται καί ὁ Νεομάρτυς εὑρίσκεται εἰς τόν ἱ. Ναόν τοῦ Ἁγίου Νικολάου Ἄνω Κονίτσης μέ ἐπιγραφήν καί χρονολογίαν «1842 Νοεμβρίου 10». Εἰς τόν αὐτόν ἱ. Ναόν ὑπάρχει καί ἑτέρα μικρή τοῦ Νεομάρτυρος μεταγενεστέρα. Μετά τήν ἀνεύρεσιν τῶν ἱερῶν Λειψάνων τοῦ Νεομάρτυρος νέαν φορητήν εἰκόνα ἐφιλοτέχνησεν ὁ εὐλαβής καί δόκιμος Ἁγιογράφος Νικόλαος Λέπουρας διά τήν ἱ. Μονήν Προυσιωτίσσης. Ἀντίγραφα αὐτῆς ὑπάρχουν εἰς ὅλους τούς τόπους ὅπου τιμᾶται ὁ Νεομάρτυς. Ἐπίσης συνεικονίζεται καί εἰς φορητήν Εἰκόνα μετά τῶν ἄλλων Εὐρυτάνων Ἁγίων.

#### β) Τοιχογραφίαι

Εἰς τοιχογραφίας ὁ Νεομάρτυς εἰκονίζεται εἰς τούς ἑξῆς ἱ. Ναούς καί Παρεκκλήσια τῆς περιοχῆς Κονίτσης: 1) Ἁγίου Νικολάου Ἄνω Κονίτσης ἀπό τό ἔτος 1864, 2) Ἁγίου Γεωργίου Πηγῆς ἀπό τό ἔτος 1875, 3) Ἁγίων Ἀποστόλων Κάτω Κονίτσης καί 4) Ἁγίου Νικολάου Ἄνω Κονίτσης καί Πουρνιᾶς (πληρ. ἱερέως Γεωργίου Παΐσιου). Πρόσφατος δέ τοιχογραφία τοῦ Ἁγίου εὑρίσκεται καί εἰς τόν Καθεδρικόν Ναόν τῆς Ἁγίας Τριάδος Καρπενησίου, ὅπου συναριθμῆται μετά τῶν ἄλλων Εὐράνων Ἁγίων.

## Γ΄ ΑΛΛΑΙ ΣΧΕΤΙΚΑΙ ΕΙΔΗΣΕΙΣ

### 1. Τό Μαρτύριον τοῦ Νεομάρτυρος

Τόν Βίον καί τό Μαρτύριον τοῦ Νεομάρτυρος ἔγραψεν ὁ Ἀναγνώστης Γιώργιος Ἰατρίδης ὁ ἐκ Καρπενησίου.

### 2. Ἡ Μνήμη τοῦ Νεομάρτυρος

Ἡ Μνήμη τοῦ Νεομάρτυρος ἄγεται καί ἑορτάζεται πανηγυρικῶς τήν 23ην Σεπτεμβρίου εἰς Ἀγρίνιον, ὅπου ἐμαρτύρησεν, εἰς Κόνιταν, ὅπου ἐγεννήθη, καί εἰς τήν ἱ. Μονήν Προυσιωτίσσης. Ἐπίσης εἰς τήν ἱεράν αὐτήν Μονήν πανηγυρίζεται μέ ὁλονύκτιον Ἀγρυπνίαν ἡ Εὕρεσις τῶν ἱερῶν αὐτοῦ Λειψάνων τήν 4ην Ἰανουαρίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας



Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

55838
KON